994 *ἦγε παρ' Αἰήτεω*] *ἠγάγετ', Αἰήτεω* Scheer Misc. crit. 8 adn. 5 *Αἰήτεω*] *γρ. αἰήτου* in marg. L, *αἰήταω* Ωc, *αἰήτεο* superscr. ω E *ἀέθλους*] *ἀέθους* (λ m. alia) *εὐρυσθεὺς* (puncta m. alia subiecta) H 995 *ἐπέτελλε*] *ἐπέξελλε* (τ m. alia) H *ὑπερήνωρ*] *ὑπερήωρος* G, *ὑπερήων* (ν superscr. et ν in vocis exitu m. alia in ρ mut.) H 996 *ὀβριμοεργός*] FHΨ, ex *ὀμβριμοεργός* corr. D, *ὀμβριμοεργός* EG 997 *Ἰαωλκὸν*] scripsi Wien. St. IV 319 (cf. Scut. 380, 474), *ἐς* (*εἰς* E) *ἰωλκὸν* (*ἰολκὸν* G) libri 1000 *δμηθεῖσ'*] *δμηθεῖσα* G, *δμηθεῖσό* (corr. m. rec.) H 1001 *τέκε*] *ἔτεκε* Ψ *Χίρων*] cf. Kretschmer d. griech. Vaseninschr. 131 sq., 226, *χείρων* libri 1002 *Φιλυρίδης*] cf. Angermann de patron. Graec. in Curtii Stud. z. gr. u. lat. Gramm. I 1, 34; *φιλλυρίδης* DΩbH, *φυλλυρίδης* GΨ *νόος*] *νόον* D 1003 *Νηρῆος κοῦραι*] *γρ. νηρηίδες* (sic) in marg. E; *Νηρεΐδες, κοῦραι* Goettling ed.[1] 85 1005 *χρυσέην*] *χρυσῆν* (*χρυσὴν* G) libri 1006 *Πηλέι*] Goettling ed.[1] 85, *πηλεῖ* libri *δὲ*] om. G

γείνατ' Ἀχιλλῆα ῥηξήνορα θυμολέοντα.
Αἰνείαν δ' ἄρ' ἔτικτεν ἐυστέφανος Κυθέρεια
Ἀγχίσῃ ἥρωι μιγεῖσ' ἐρατῇ φιλότητι
Ἴδης ἐν κορυφῇσι πολυπτύχου ὑληέσσης.
Κίρκη δ', Ἠελίου θυγάτηρ Ὑπεριονίδαο,
γείνατ' Ὀδυσσῆος ταλασίφρονος ἐν φιλότητι
Ἄγριον ἠδὲ Λατῖνον ἀμύμονά τε κρατερόν τε·
[Τηλέγονον δ' ἄρ' ἔτικτε διὰ χρυσέην Ἀφροδίτην.]

1007 *Η* 228 *Ἀχιλλῆα ῥηξήνορα θυμολέοντα** 1008 sqq. *Β* 819 sqq. *ἐὺς πάις Ἀγχίσαο, | Αἰνείας, τὸν ὑπ' Ἀγχίσῃ τέκε δῖ' Ἀφροδίτη | Ἴδης ἐν κνημοῖσι θεὰ βροτῷ εὐνηθεῖσα* *Υ* 208 sq. *αὐτὰρ ἐγὼν υἱὸς μεγαλήτορος Ἀγχίσαο | εὔχομαι ἐκγεγάμεν, μήτηρ δέ μοί ἐστ' Ἀφροδίτη* 1008 *σ* 193 *ἐυστέφανος Κυθέρεια** 1010 *Χ* 171 *Ἴδης ἐν κορυφῇσι πολυπτύχου** *Φ* 449 *Ἴδης ἐν κνημοῖσι πολυπτύχου ὑληέσσης* 1012 *Λ* 466 *Ὀδυσσῆος ταλασίφρονος** 1013 *Δ* 89 *ἀμύμονά τε κρατερόν τε**

1009 Hymn. Hom. Ven. 77 *Ἀγχίσην ἥρωα** 1011 cf. Epigr. Hom. 14, 15 *Ἠελίου θυγάτηρ, πολυφάρμακε Κίρκη* Pseudorph. Arg. 1216 A. *Ἠελίου θυγάτηρ, Κίρκην δέ ἑ κικλήσκουσι,* cf. ad 956 sq.

---

esse filium Pelei diceret, quis esset Peleus, non addidit; quam rem procul inquit dubio dixisset, nisi ab Hesiodo iam dictum videret, cf. Fragm. 78—81
1011—1013 Schol. Laur. Apoll. Rhod. Arg. *Γ* 200 p. 456, 36 K. *Ἡσίοδος δέ φησιν τὴν Κίρκην τοῦ Ἡλίου θυγατέρα εἶναι ἐν τοῖσδε τοῖς ἔπεσι· 'Κίρκη — κρατερόν τε'* Serv. in Vergil. Aen. VII 47 (II 129, 25 Th.-H.) *sane Hesiodus Latinum Circes et Ulixis filium dicit* idem l. c. XII 164 (II 594, 21 Th.-H.) *Latinus secundum Hesiodum in ἀσπιδοποιίᾳ Ulixis et Circae filius fuit* Eust. Hom. 1796, 43 *ἐκ Κίρκης υἱοὶ καθ' Ἡσίοδον Ὀδυσσεῖ Ἄγριος καὶ Λατῖνος* (cetera v. ad 1017 sq.) 1011 Et. mag. v. *Ὑπερίων· ὁ ἥλιος, ἤτοι ὅτι Ὑπερίονός ἐστι καὶ Θείας παῖς, ὡς Ἡσίοδος· ἐντεῦθεν γὰρ αὐτὸν πατρωνυμικῶς Ὑπεριονίδην καλεῖ* 1013 Ioann. Laurent. Lyd. de mens. I 13 p. 7 W. (cf. Fragm. 4) ex h. l. sumpsisse videtur '*Ἄγριον ἠδὲ Λατῖνον*'

1007 *Ἀχιλλῆα*] *ἀχιλῆα* L, *ἀχιλλέα* H 1010 *ὑληέσσης*] *ἠνεμοέσσης* (cf. Hom. Epigr. 11, 2) in textu Ωc, m. rec. superscr. *γρ. ὑληέσσης* H 1011 *Ὑπεριονίδαο*] in textu ΩbΨ, *γρ. ὑπερηνορίδαο* in marg. E; *ὑπερηνορίδαο* superscr. m[2] *ϊονϊ* (*ο* ex *ω* rest.) D; *ὑπερηνορίδαο* G, *ὑπερηνορίδαο* *η* in *ι* mutato H 1012 *γείνατ' Ὀδυσσῆος ταλασίφρονος*] *τίκτεν Ὀδυσσῆι ταλασίφρονι* schol. Apoll. Rhod. 1013 *Ἄγριον*] libri schol. Apoll. Rhod. Laurentius Lydus Eustathius; 'agri' Romani eponymum intellexit Fick, d. griech. Personenn.[2] 424; *Ἄδριον* Clericus ed. p. 144, *Ἄτριον* Sittl Gesch. d. gr. Litt. I 207 adn. 1, *Ἄβριον* (= *Ὄμβριον*) Grotefend Z. Geogr. u. Gesch. v. Altital. II 11 (cf. Dion. Halic. I 29), *Γραϊκόν τ'* Laurentium Lydum (cf. Fragm. 4) legisse putavit Goettling ed.[1] 86 (contra dicente Hermanno Op. VI 192 sq.); *Τάρχιον* Helbig Bull. dell' Inst. arch. 1884 p. 39, *Αὔσονά τ'* (vel *Ὄμβριον*) Peppmüller Hes. p. 98 adn. 1 *ἠδὲ Λατῖνον*] *ἠδ' ἐλάτινον* K, *ἠδὲ* (*ὲ* m. recentiore) *///λατῖνον* L *ἀμύμονα*] ex *ἀμείνονα* corr. m[1] D 1014 om. D, neglegunt Schol. Apoll. Rhod. Eustathius, cf. Muetzell de em. Theog. Hes. 176 sqq.; exhibent ΩbcΨ; v. factum videri, quod alia recensio praecedentem sic scriptum habuerit *Ἄγριον ἠδὲ Λατῖνον ἀμύμονα Τηλέγονόν τε,* censet Hermann Op. VIII 67 *δ' ἄρ' ἔτικτε*] Paley ed.[1] 252, cf. Theog. 943, 1008 Fragm. 17, 1;

οἳ δή τοι μάλα τῆλε μυχῷ νήσων ἱεράων
πᾶσιν Τυρσηνοῖσιν ἀγακλειτοῖσι ἄνασσον.
Ναυσίθοον δ' Ὀδυσῆι Καλυψὼ δῖα θεάων
γείνατο Ναυσίνοόν τε μιγεῖσ' ἐρατῇ φιλότητι.

Αὗται μὲν θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι
ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα.
νῦν δὲ γυναικῶν φῦλον ἀείσατε, ἡδυέπειαι
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο.

* * * * *

1015 *B* 625 sq. *ἱεράων* | *νήσων* 1017 *α* 14 *Καλυψὼ δῖα θεάων** 1019 cf. ad 967 1020 cf. ad 968 1022 cf. ad 25

1019 cf. ad 967

1015 sq. Schol. Laur. Apoll. Rhod. *Γ* 311 p. 460, 18 K. *ἠκολούθησεν Ἀπολλώνιος τοῖς κατὰ τὸ Τυρσηνικὸν πέλαγος ὑποτιθεμένοις τὴν Ὀδυσσέως πλάνην, ὧν ἀρχηγὸς Ἡσίοδος κατῳκηκέναι λέγων Κίρκην ἐν τῷ προειρημένῳ πελάγει* 1016 cf. Eratosth. ap. Strabon. I 23: *Ἐρατοσθένης δὲ Ἡσίοδον μὲν εἰκάζει πεπυσμένον περὶ τῆς Ὀδυσσέως πλάνης, ὅτι κατὰ Σικελίαν καὶ Ἰταλίαν γεγένηται, πιστεύσαντα τῇ δόξῃ μὴ μόνον τῶν ὑφ' Ὁμήρου λεγομένων μεμνῆσθαι, ἀλλὰ καὶ Αἴτνης καὶ Ὀρτυγίας τοῦ πρὸς Συρακούσαις νησίου καὶ Τυρρηνῶν* 1017 sq. Eust. Hom. 1796, 44 *ἐκ δὲ Καλυψοῦς (υἱοὶ καθ' Ἡσίοδον Ὀδυσσεῖ,* cf. ad 1011 sqq.) *Ναυσίθοος καὶ Ναυσίνοος*

δ' ἔτικτε EΨ, *δ' ἔτεκε* F, *τε ἔτικτε* Ωc; *οἱ ἔτικτε* interpunctione post *κρατερόν τε* sublata Sittl ed. 197; *δ' ἔτεκ' εἶτα* Peppmüller Hes. p. 97 adn. 3 *χρυσέην*] *χρυσῆν* libri
1015 *δή τοι*] DΨ, *δ' ἤτοι* Ωbc *μυχῷ νήσων*] *μυχῶν εἴσω* in textu Ωb, *γρ. μυχῷ νήσων* in marg. E, *μυχοῦ νήσων* Unger Phil. XXIV 402 1016 *πᾶσιν*] *ν* m. alia superscr. L, *πᾶσι* Ωc *Τυρσηνοῖσιν*] *τυρσηνῆσιν* Ψ *ἀγακλειτοῖσι*] DGΨ, *ἀγακλυτοῖσιν* ΩbH 1017 *Ὀδυσῆι*] *ὀδυσσῆι* Ωbc 1018 *Ναυσίνοον*] *ναυσίθοον* K, *λυσίνοον* in ras. L *τε*] om. K 1020 *ἀθάναται*] *ἀθανάτοις* H 1021 sq. unius versus spatio intermisso leguntur in F, manu rec. additi sunt in E; desunt in DΨ
Subscriptio: τέλος τῆς θεογονίας ἡσιόδου (rubr.) D, *τέλος τῆς ἡσιόδου θεογονίας* HK (m. rec. iter. H, rubr. K), nulla in FGL

ΕΡΓΑ ΚΑΙ ΗΜΕΡΑΙ

NOTAE LIBRORUM

Libri primarii

A = papyrus Raineri archiducis Austriae, nunc bibl. caesareae Vindobonensis L. P. 21—29 saec. IV
B et B^II = fragmenta papyrorum Navillii, nunc bibl. Genavensis pap. 94 saec. fere V

C = cod. Parisinus bibl. nationalis 2771 saec. XI
D = cod. Florentinus bibl. Laurentianae XXXI 39 saec. XII
E = cod. Messanius bibl. universitatis 'praeexistens 11' saec. XII exeuntis —XIII

Libri secundarii

F = cod. Romanus bibl. Vaticanae 38 saec. XIV
G = cod. Venetus bibl. Marcianae IX 6 saec. XIV
H = cod. Florentinus bibl. Laurentianae XXXI 37 saec. XIV

I = cod. Florentinus bibl. Laurentianae XXXII 16 saec. XIII (1281)
K = cod. Florentinus bibl. Laurentianae XXXII 2 saec. XIV
L = cod. Mediolanensis bibl. Ambrosianae G 32 sup. saec. XIV
M = cod. Florentinus bibl. Riccardianae 71 saec. XV (1428)

N = cod. Mediolanensis bibl. Ambrosianae J 15 sup. saec. XIV
O = cod. Parisinus bibl. nationalis 2773 saec. XIV
P = cod. Cantabrigiensis Galeanus O 9, 27 saec. XIII et XIV
Q = cod. Romanus bibl. Vaticanae 1332 saec. XIV

Ex his adnumerandi sunt

classi Ω: 1. codex C
2. codices FGH = Ωb

classi Ψ: 1. codex D
2. codices IKLM = Ψb

classi Φ: 1. codex E
2. codices NOPQ

Libri contaminati memoratu digni

cod. Romanus bibl. Vaticanae 904 saec. XIII
cod. Mediolanensis bibl. Ambrosianae C 222 inf. saec. XIII
cod. Florentinus bibl. Laurentianae conv. suppress. 158 saec. XIV

recensio Triclinii: cod. Venetus bibl. Marcianae 464 saec. XIV

Μοῦσαι Πιερίηθεν ἀοιδῇσιν κλείουσαι
δεῦτε, Δί' ἐννέπετε, σφέτερον πατέρ' ὑμνείουσαι·

1—10 Procl. in Op. praef. II 3 sq. G. *ὅτι δὲ τὸ προοίμιόν τινες διέγραψαν, ὥσπερ ἄλλοι τε καὶ Ἀρίσταρχος ὀβελίζων τοὺς στίχους καὶ Πραξιφάνης ὁ τοῦ Θεοφράστου μαθητής, μηδὲ τοῦτο ἀγνοῶμεν. οὗτος μέντοι καὶ ἐντυχεῖν φησὶν ἀπροοιμιάστῳ τῷ βιβλίῳ καὶ ἀρχομένῳ χωρὶς τῆς ἐπικλήσεως τῶν Μουσῶν ἐντεῦθεν 'οὐκ ἄρα — γένος'* Schol. (*βίος*) Dionys. Perieg. 62 ed. Rühl Rh. Mus. XXIX 83 *τὸ δὲ (προοίμιον) τῶν Ἔργων καὶ Ἡμερῶν Ἡσιόδου [καὶ τῆς Θεογονίας]* (uncis inclusit Maass, Aratea 213 adn.) *πάσης ἔστι προτάξαι ποιήσεως. διὸ καὶ ὁ Κράτης [αὐτὰ]* (seclusit Maass l. c.) *κατὰ λόγον ἠθέτει* Pausan. IX 31, 4 *Βοιωτῶν δὲ οἱ περὶ τὸν Ἑλικῶνα οἰκοῦντες παρειλημμένα δόξῃ λέγουσιν, ὡς ἄλλο Ἡσίοδος ποιήσαι οὐδὲν ἢ τὰ Ἔργα· καὶ τούτων δὲ τὸ ἐς τὰς Μούσας ἀφαιροῦσι προοίμιον ἀρχὴν τῆς ποιήσεως εἶναι τὸ ἐς τὰς Ἔριδας λέγοντες. καί μοι μόλιβδον ἐδείκνυσαν, ἔνθα ἡ πηγή, τὰ πολλὰ ὑπὸ τοῦ χρόνου λελυμασμένον. ἐγγέγραπται δὲ αὐτῷ τὰ Ἔργα* 1—8 Dio Prus. XII 23 sq. (I 161, 3 A.) *καὶ ποιητὴς (Ἡσίοδος) σοφώτερός τε καὶ ἀμείνων ὁ παρακαλῶν ἐπὶ τοῦτο τὸ ἔργον ὧδέ πως· 'Μοῦσαι — ναίει'.* 1 sq. Eust. Hom. 9, 13 *καὶ παρ' Ἡσιόδῳ 'Μοῦσαι, ἐννέπετε'* 1 Isag. Arat. p. 324, 3 M. *καθάπερ γὰρ ὁ Ἡσίοδος Ἔργων καὶ Ἡμερῶν ἀρχόμενος ὕμνων ἀπὸ Διὸς ἤρξατο λέγων 'Μοῦσαι — κλείουσαι', οὕτω καὶ ὁ Ἄρατος τῆς ποιήσεως ἀρχόμενος ἔφη 'ἐκ Διὸς ἀρχώμεσθα'* Pseudodraco 77, 23 H. *Ἡσίοδος· 'Μοῦσαι — κλείουσαι'* 2 Herodian. rhet. *περὶ σχημ.* III 89, 9 Sp. (VIII 586, 4 W.) *ἐσχημάτισε δὲ καὶ Ἡσίοδος ἐν προσώποις κατ' ἐκεῖνο 'δεῦτε — ὑμνείουσαι', εἴ γε γνήσιον Ἡσιόδου τὸ προοίμιον τίθεμεν. ἀντὶ γὰρ τοῦ 'ὑμέτερον' δευτέρου τρίτον ἐπήνεγκε τὸ 'σφέτερον'* Anonym. *περὶ βαρβ. καὶ σολοικ.* 201 p. 185 Valck. . . . *ὡς παρ' Ἡσιόδῳ 'δεῦτε — ὑμνείουσαι' ἀντὶ τοῦ ὑμέτερον* Polyb. Sard. (post Lex. Vindob.) 288, 16 N. *πρόσωπα ἐν ἀντωνυμίαις· 'δεῦτε — ὑμνείουσαι' ἀντὶ τοῦ ὑμέτερον* Achill. comm. Arat. p. 83, 28 M. *καὶ γὰρ Ἡσίοδος, οὗ μάλιστα ζηλωτὴν τὸν Ἄρατόν φαμεν γεγο-*

Inscriptio: ε>ΡΓΑΚΑΙΗΜΕ<ραι pap. Parisina supplem. gr. 1099, *ἡσιόδου ἔργα καὶ ἡμέραι* C (in folio primo recentiore saec. XV) FGHIKLN(m. rec.)Q, *ἡσιόδου ἔργα τε καὶ ἡμέραι* D, erasa in O, nulla in E 1—42 in folio recentiore (saec. XV) H 1—16 in folio primo rec. C 1—10 non agnoverunt Boeoti Heliconis accolae, Praxiphanes Theophrasti discipulus; obelo notarunt Aristarchus (quod immerito negat Dimitrijević Stud. Hes. 125) et Crates cum aliis, pro suspectis habuit Herodianus rhet. 1—9 rhapsodi cuiusdam prooemium 1 *κλείουσαι*] *κλεῖουσαι* Nauck MGrR. III 213 adn. 8 2 *Δί'*] DEFLO Dio Anonymus *περὶ βαρβ.* Eustathius utroque l., *'δεῦτε δὴ τὸν Δία προσείπατε'* Proclus p. 24, 18 G., *δί'* superscr. *ἡ* K, *'γρ. δεῦτε δή'* schol. cod. Monac. 91, *δὴ* m. eadem superscr. *δί'* I, superscr. *ι* M; *δὴ* GHNPQ Herodianus rhet. Schol. Hom. Polybius Tzetzes schol. p. 35, 4 G. (cf. Moschopulus schol. p. 38, 5 G.) *ἐννέπετε*] *ἐνέπετε* D *ὑμνείουσαι*] *ὑμνήουσαι* v. Leeuwen Enchir. dict. ep. 421

ὅν τε διὰ βροτοὶ ἄνδρες ὁμῶς ἄφατοί τε φατοί τε,
ῥητοί τ' ἄρρητοί τε Διὸς μεγάλοιο ἕκητι.
ῥέα μὲν γὰρ βριάει, ῥέα δὲ βριάοντα χαλέπτει,
ῥεῖα δ' ἀρίζηλον μινύθει καὶ ἄδηλον ἀέξει,

---

4 *E* 907 *Διὸς μεγάλοιο** *υ* 42 *Διός τε σέθεν τε ἕκητι* 5 sqq. cf. *π* 211 sq. *ῥηΐδιον δὲ θεοῖσι . . . | ἠμὲν κυδῆναι θνητὸν βροτὸν ἠδὲ κακῶσαι* 5 sq. cf. *P* 461 sq. *ῥέα μὲν γὰρ φεύγεσκεν . . ῥεῖα δ'* 6 cf. *Υ* 242 *Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε*

---

3 Timon Fr. 32, 2 W. *ὁμῶς* (Wachsmuth, *ὅμως* cod. I, *βροτῶν* CDFG) *ἄφατοί τε φατοί τε** 6 Quint. Smyrn. XIII 474 *καὶ τὰ μὲν ἀκλέα πάντα καὶ οὐκ ἀρίδηλα γεγῶτα | κυδήεντα τίθησι, τὰ δ' ὑψόθι μεῖον' ἔθηκε* (*Αἶσα*) cf. Aristoph. Lys. 772 sq. *τὰ δ' ὑπέρτερα νέρτερα θήσει | Ζεὺς ὑψιβρεμέτης* Eurip.

νέναι, ἀπὸ Διὸς ἤρξατο 2 hemist. prius] Schol. Hom. Ven. A et Townl. *A* 1 (I 4, 19 D. et V 2, 21 M.) *καὶ* (*ὁ* Townl.) *γὰρ Ἡσίοδός φησι· 'δεῦτε δὴ ἐννέπετε'* Eust. Hom. 1809, 14 . . *καὶ παρ' Ἡσιόδῳ τὸ 'δεῦτε Δί' ἐννέπετε'* 2 hemist. alterum] Apoll. Dysc. de pron. p. 139 B (I 1, 109, 23 Schn.) *πλεῖστα γοῦν ἔστι παρ' ἑτέροις εὑρεῖν 'σφέτερον πατέρα' ἀντὶ τοῦ ὑμέτερον* idem l. c. p. 140 A (I 1, 110, 8 Schn.) . . *διὸ καὶ τὸν 'σφέτερον πατέρα' ἀντὶ τοῦ τὸν ἴδιόν τινες δέχονται* Anonym. de barb. et soloec. (post Lex. Vindob.) 292, 2 N. (cf. 307, 19) *περὶ πρόσωπα, ὡς ἐν ἀντωνυμίαις 'σφέτερον πατέρ' ὑμνείουσαι' ἀντὶ τοῦ ὑμέτερον* Eust. Hom. 1383, 33 . . . *εἰ καὶ Ἡσίοδος ἐπὶ δευτέρου αὐτὸ* (*τὸ 'σφέτερον'*) *ἔταξεν, ἐν τῷ 'σφέτερον πατέρ' ὑμνείουσαι' ἀντὶ τοῦ ὑμέτερον*

3 Gregor. Cor. 109, 3 Sch. *καὶ τὸ τὰς αἰτιατικὰς ἀντὶ γενικῆς παραλαμβάνειν* (*τῶν Ἀττικῶν ἐστι*) *ὡς Ἡσίοδος· 'ὅν τε διά' ἀντὶ τοῦ δι' οὗ* Eust. Hom. 52, 7 *καὶ παρ' Ἡσιόδῳ τὸ 'ὅν τε διά' ἤγουν δι' ὅν* 5 sq. Anecd. Ox. I 383, 6 Cr. *ἐκ τοῦ ῥέω ῥέα ῥεῖα· 'ῥέα — βριάει' καὶ 'ῥεῖα δ' — μινύθει'* 5 Apoll. Dysc. de adv. p. 562, 7 (I 1, 152, 3 Schn.) *καὶ σαφὲς ὅτι τὸ 'ῥέα — βριάει' ὁλόκληρον γέγονε, τὸ δὲ 'ῥεῖα'* (v. 6?) *ἐν πλεονασμῷ ἐστι τοῦ ῑ* Aristid. XXVI 39 (II 102, 21 K.) *καὶ τὸ τοῦ Ἡσιόδου συμβαίνει· 'ῥεῖα — χαλέπτει'* Helias Mon. Anecd. var. gr. Append. I 1, p. 178, 1 Stud. Trichas de metr. 71 *δύο* ⟨*δὲ*⟩ *βραχείας εἰς μίαν* ⟪*μακρὰν*⟫, ⟨*ὡς τὸ*⟩ *'ῥέα — βριάει'* Helias Mon. l. c. I 1, 2 p. 179, 3 Stud. Trichas de metr. 72 *ἐπεὶ γὰρ ἐνταῦθα δίχρονον οὐκ ἔστιν, ἵνα μακρὰν ποιήσωμεν, ὡς ἐπὶ τοῦ 'ῥέα — βριάει', ἀρκούμεθα τῇ τελευταίᾳ τῆς λέξεως συλλαβῇ κατὰ συνεκφώνησιν* Et. gen. v. *Βριάρεως* . . . *καὶ τὸ βριάω· 'καί τε βριάοντα χαλέπτει'* Ioann. Diac. Alleg. Hes. Theog. 617 p. 339, 13 Fl. . . *ὡς τὸ 'ῥέα — χαλέπτει'* 6 sq. Dio Prus. LXIV 8 (II 150, 3 A.) *'ῥεῖα δ' ἀρίζηλον — κάρφει'*

---

3 *ἄνδρες ὁμῶς*] *ὁμῶς ἄνδρες* D 4 adulterinus videtur Hageno Melet. crit. in Hes. Erg. 8 *τε*] om. D 5 *ῥέα μὲν γὰρ — ῥέα δὲ*] *ῥεῖά τε . . . . ῥεῖα* Paley ed.[1] 6, *ῥεῖά τε γὰρ . . . . ῥέα τε* Menrad de contr. et syniz. usu hom. 173 (cf. Nauckii coniectura in Hom. *P* 461); *ῥεῖα μὲν ἄρ* dubitans Martin d. Prooem. z. d. Erg. d. Hes., Progr. v. Würzburg 1898 p. 41 *ῥέα μὲν*] Apollonius Dysc. Dio Helias Trichas utroque l. Anecd. Ox., cf. Hom. *P* 461; *ῥεῖα μὲν* libri, codd. Aristidis omnes, Et. Paris. Tzetzes schol. p. 40, 7 G. Moschopulus schol. p. 40, 9 G.; *ῥῇ μὲν*? Ahrensium (Kleine Schr. I 467) secutus Sittl ed. 478 *γὰρ*] om. G *ῥέα δὲ*] ΩKLMNOPQ Dio Aristides Ioannes Diac., *ῥεῖα* (*ῥεία* D) *δὲ* DE (Dionis codd. UBM), *ῥέα* (m[1] e *ῥεῖα* factum) *δὲ* I; *καί τε* Et. gen. (cod. A) *βριάοντα*] *βριάοντε* Et. gen. cod. A *χαλέπτει*] *χαλεπτεῖ* Et. gen. cod. A, *κατέκτα* eiusdem cod. B 6 *δ' ἀρίζηλον*] *δέ τ' ἀρίζηλον* D *ἄδηλον*] *ἀίδηλον* D

ῥεῖα δέ τ' ἰθύνει σκολιὸν καὶ ἀγήνορα κάρφει
Ζεὺς ὑψιβρεμέτης, ὃς ὑπέρτατα δώματα ναίει.
κλῦθι ἰδὼν ἀίων τε, δίκῃ δ' ἴθυνε θέμιστας
[τύνη· ἐγὼ δέ κε, Πέρσῃ, ἐτήτυμα μυθησαίμην.]

Οὐκ ἄρα μοῦνον ἔην Ἐρίδων γένος, ἀλλ' ἐπὶ γαῖαν

---

8 *Α* 354 Ζεὺς ὑψιβρεμέτης* cf. ε 80 ἀπόπροθι δώματα ναίει*

Troad. 612 ὁρῶ τὰ τῶν θεῶν, ὡς τὰ μὲν πυργοῦσ' ἄνω | τὰ μηδὲν ὄντα, τὰ δὲ δοκοῦντ' ἀπώλεσαν idem Fr. 716 N.[2] τά τοι μέγιστα πολλάκις θεὸς | ταπείν' ἔθηκε καὶ συνέστειλεν πάλιν Lucillius Anth. Pal. X 122, 1 sq. πολλὰ τὸ δαιμόνιον δύναται, κἂν ᾖ παράδοξα· | τοὺς μικροὺς ἀνάγει, τοὺς μεγάλους κατάγει Horat. Carm. I 34, 12 sqq. *valet ima summis | mutare et insignem attenuat deus | obscura promens* Auson. Append. p. 255 Sch. *fortuna . . . summa in imum vertit ac versa erigit*

7 cf. Solon Fr. 4 B.[4] 37 εὐθύνει (ἰθύνει Herwerden) δὲ δίκας σκολιάς 10 Hymn. Hom. Cer. 44 ἐτήτυμα μυθήσασθαι* 11 sq. inde colorem duxit Timocr. Fr. 3, 1 sqq. B.[4] οὐκ ἄρα Τιμοκρέων μοῦνος | Μήδοισιν ὀρκιατομεῖ, | ἀλλ' ἐντὶ κἄλλοι δὴ πονηροί

---

9 Schol. Aeschyl. Suppl. 79 καὶ Ἡσίοδος 'κλῦθι ἰδὼν ἀίων τε' Et. mag. (e scholio Hes.) v. δίκη . . . σημαίνει . . . καὶ τὴν δικαιοσύνην ὡς τὸ 'δίκῃ — θέμιστας' 9 sq. Et. mag. v. ἐγών 314, 42 G. (Herodian. II 200, 18 L.) τὸ δὲ τύνη . . ὅπερ ἀντὶ τοῦ σύ ἐστιν, ἀντωνυμία . . . καὶ Ἡσίοδος 'ἴθυνε θέμιστας | τύνη' (cf. Eust. Hom. 573, 20 τὸ δὲ 'τύνη' Δωρικὴ καὶ νῦν ἀντωνυμία . . κειμένη καὶ παρ' Ἡσιόδῳ idem 1044, 42 Δωρικὸν δὲ τὸ 'τύνη' ἀντὶ τοῦ σύ . . . ὃν δὲ καὶ παρ' Ἡσιόδῳ idem 1359, 35 τὸ δὲ 'τύνη' Δωρικόν . . . καὶ παρ' Ἡσιόδῳ ἐστί, cf. etiam Op. 641 Theog. 36) 10 Pseudodraco p. 89, 14 H. 'τύνη — μυθησαίμην' cf. ad 27 sqq. 11—13 Lucian. Amor. 37 p. 439 . . οὐ μὴν οὐδ' Ἐρίδων γένος ἐστὶν ἕν, 'ἀλλ' ἐπὶ γαῖαν — ἔχουσιν' Eust. Hom. 832, 36 . . φαύλης δὲ τὰ τοιαῦτα ἔριδος ἐπίθετα. ἡ γάρ τοι ἀγαθὴ ἔρις ἀρετὴ οὖσα οὐκ ἂν τοιαύτη λέγοιτο 11 sq. Choric. Rh. Mus. XXXVII p. 484, 16 F. οὐ γὰρ ἔχω μαθεῖν, ὦ φιλότης, τί ποτε ἄρα ποιηταῖς μὲν ἔθος αὐτὰς κατὰ πολλὴν ἐξουσίαν αἰτεῖν εἴτε τις ἑνὸς Θεσσαλοῦ μῆνιν ᾄδειν ἐθέλοι εἴτε διδάξαι τὸν ἀδελφόν, ὡς δύο εἰσὶν Ἔριδες ἐν ἀνθρώποις . . . 11 Plutarch. Mor. 736 e (IV 359, 1 B.) ἄσαντος δὲ τὰ πρῶτα τῶν Ἔργων 'οὐκ — γένος' . . . Schol. Laur. Apoll. Rhod. Arg. *Β* 438 p. 415, 6 K. καὶ Ἡσίοδος 'οὐκ — γένος'. οὐκ ἦν, ὡς ἔοικε, μία Ἔρις Procl. in Plat. Parmen. p. 52 C p. 502 St. ἔστι γὰρ καὶ ἀντιλέγειν ὀρθῶς καὶ ἐρίζειν εὖ καὶ κακῶς, εἴπερ καὶ τὴν ἔριν διττὴν εἶναί φασιν· 'οὐκ ἄρα — γένος' τις λέγει Schol. Hom. Townl. *Γ* 147 (VI 217, 19 M.) 'οὐκ ἄρα — γένος' Et. Tittm. v. μοῦνος καὶ μόνον . . . Ἡσίοδος 'οὐκ ἄρα — γένος'

---

8 aut una cum v. 10 illatum esse aut ναίεις (in exitu) scripto post 9 collocatum fuisse censuit Paley ed.[1] 7 10 cancellis saepsit Goettling ed.[1] 136 (ed.[2] 160) τύνη] Τύνη Polyzelus 'ἐν Ῥοδιακοῖς', cf. schol. vetus p. 44 not. w G. et Dimitrijević Stud. Hes. 144 Πέρσῃ] DKLMQ, e Πέρση corr. I, πέρση libri cett. et scholia 11—48 (praeter 25 sq. additos) carmen primum Kirchhoffii Hes. Mahnl. a. Pers. 40 sqq. 11 ἐπὶ γαῖαν] ἐπὶ γαίᾳ (sic) Blaydes Advers. 8

εἰσὶ δύω· τὴν μέν κεν ἐπαινέσσειε νοήσας,
ἡ δ' ἐπιμωμητή· διὰ δ' ἄνδιχα θυμὸν ἔχουσιν.
ἡ μὲν γὰρ πόλεμόν τε κακὸν καὶ δῆριν ὀφέλλει,
σχετλίη· οὔ τις τήν γε φιλεῖ βροτός, ἀλλ' ὑπ' ἀνάγκης
ἀθανάτων βουλῇσιν Ἔριν τιμῶσι βαρεῖαν.
τὴν δ' ἑτέρην προτέρην μὲν ἐγείνατο Νὺξ ἐρεβεννή,
θῆκε δέ μιν Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων,
γαίης ἐν ῥίζῃσι, καὶ ἀνδράσι πολλὸν ἀμείνω·
ἥ τε καὶ ἀπάλαμόν περ ὁμῶς ἐπὶ ἔργον ἔγειρεν.
εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζει

---

13 cf. Τ 32 δίχα θυμὸν ἔχοντες 14 cf. Δ 445 Ἔρις ... ὀφέλλουσα στόνον ἀνδρῶν* 17 Θ 488 νὺξ ἐρεβεννή* 18 Δ 166 Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων*

---

13 Cleobul. Fr. 2, 2 B.[4] διάνδιχα εἶδος ἔχουσαι* 15 sq. cf. Babr. 134, 16 κακῆς .. ἔριδος .. ἐπειράθην 20 Arat. 6 λαοὺς δ' ἐπὶ ἔργον ἐγείρει* Quint. Smyrn. II 184 ὅς τ' ἐπὶ ἔργον .. ἀμαλλοδετῆρας ἐγείρει

---

12 Eust. Hom. 1315, 14 τοῦ δὲ ἐπαινῆσαι καὶ μετ' ὀλίγα κεῖται χρῆσις. καὶ παρ' Ἡσιόδῳ δὲ ἐν τῷ 'τὴν — νοήσας' idem 231, 24 τοῦ δὲ ἐπαινῶ ἐπαινήσω, οὐ κοινότερον τὸ ἐπαινέσω, χρῆσις καὶ παρ' Ἡσιόδῳ καὶ ἄλλοις idem 1144, 49 τοῦ δὲ ἐπαινῆσαι ἡ χρῆσις καὶ παρ' Ἡσιόδῳ 14 sqq. Eust. Hom. 1133, 60 ἔριν .... τὴν καὶ παρὰ τοῖς μυθικοῖς θεοῖς τὰ πρακτέα ἐπὶ τὸ χεῖρον ἄγουσαν· ἣν κακολογεῖ καὶ Ἡσίοδος 14 Et. Tittm. v. ὀφέλλει, αὔξει· Ἡσίοδος 'ἡ μὲν — ὀφέλλει' 17 Alexand. Aphrod. in Aristot. Metaph. p. 690, 9 sq. H. ὅταν γὰρ Ἡσίοδος λέγῃ ... 'τὴν δ' ἑτέρην — ἐρεβεννή' ... 20 Moschopul. in Op. 3 p. 39, 12 G. (cf. ad Theog. 124) (πολλάκις ὁ 'τε' σύνδεσμος περιττὸς τίθεται). ὡς .. οὗτος .. 'ἥ τε — περ' 21—24 Stob. III c. 29 s. 2 (III 626, 9 H.) Ἡσιόδου Ἔργων· 'εἰς ἕτερον — βροτοῖσιν' 21 sq. Galen. X 6 K. .. ἀλλ' ὥσπερ Ἡσίοδός φησιν 'εἰς ἕτερον — φυτεύειν'

---

12 εἰσὶ] εἰσὶ DI, εἶσι EGLNO δύω] δύο e δύω factum, postea ω superscr. E, δύο L κεν] τις dubitans Paley ed.[1] 7 ἐπαινέσσειε] H (pars rec.) Procli lemma; ἐπαινέσειε D, m.[1] superscr. η MQ, ἐπαινήσειε EFIKLNOP Lucianus Eustathius 15 βροτός] βροτῶν N, βροτῶν superscr. ὸς cod. Ambros. C 222 inf. (saec. XIV) 16 βαρεῖαν] βαρείην E 17 hic vetus codicis C textus incipit τὴν δ' ἑτέρην — ἀμείνω] τῆς δ' ἑτέρη — προτέρην .. ἀνδράσι — .. ἀμείνων Ritschl Op. I 728, τὴν δ' ἑτέρην — προτέρην .. ἐρεβεννή — θῆκεν ἔριν Κρονίδης ... ἀμείνω Seyffert ap. Ritschl l. c. 729 ἐρεβεννή] ἐρεβενὴ D 18 sq. additos esse censuit Goettling ed.[1] 137 (ed.[2] 162) 19 ἐν] τ' ἐν libri, τ' eiecit Guyet Not. in Hes. 144 20 ἀπάλαμον] G(H)I, ἀπάλαμνον CDFKLMΦ (ν m. rec. del. in E) Tzetzes schol. 52, 14 Moschopulus 39, 16 et 52, 17 G. ὁμῶς] libri (ὅμως H pars rec.) cf. Lehrs Aristarch.[3] 156 sq. Steitz d. Werke u. Tage d. Hes. 27 ἔγειρεν] C (εγε litterae in foramine folii perierunt) E m[1] (in ἐγείρει mut. m. rec.), NO (γρ. ἐγείρει marg. O); ἐγείρει (altera recensio) libri cett. Aratus Quintus Proclus 52, 8 Tzetzes 52, 13 Moschopulus 52, 18 G. 21 ἰδὼν ἔργοισι (cum πλούσιον coniungendum) χατίζων (= 'pauper') | πλούσιον Usener Rh. Mus. XXIII 147, ἴδεν ἔργοιο χατίζων | πλούσιον Wäschke Phil. Anz. 1882, 5, ἰδὼν βιότοιο χατίζων | πλούσιον Peppmüller Phil. XXXIX 390, ὡς ἕτερον (ἔργοιο χατίζοντα) γάρ τίς τε ἰδὼν ἔργοιο χατίζει | πλούσιον Ludwich BphW. 1890

πλούσιον, ὃς σπεύδει μὲν ἀρώμεναι ἠδὲ φυτεύειν
οἶκόν τ' εὖ θέσθαι· ζηλοῖ δέ τε γείτονα γείτων
εἰς ἄφενος σπεύδοντ'· ἀγαθὴ δ' Ἔρις ἥδε βροτοῖσιν.

καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ τέκτονι τέκτων,

---

24 Orac. Sib. XIV 276 *εἰς ἄφενον σπεύδοντι** cf. Apollinar. Psalm. Met. XXIV 25 *εἰς ἀρετὴν σπεύδων** Orac. Sib. V 431 *ἔρις δ' ἐν πᾶσι δικαίη*

---

23 sq. Schol. Oppian. Hal. I 500 p. 287 b 53 Buss. *ζῆλος . . . ὡς Ἡσίοδος 'ζηλοῖ — σπεύδοντα'* 23—26 Plutarch. Mor. 92 a (I 222, 12 B.) *οὐ γὰρ κεραμεῖ δεῖ κεραμέα φθονεῖν οὐδ' ἀοιδὸν ἀοιδῷ καθ' Ἡσίοδον οὐδὲ γείτονα ζηλοῦν οὐδ' ἀνεψιὸν οὐδ' ἀδελφὸν 'εἰς ἄφενος σπεύδοντα' καὶ τυγχάνοντα χρηστῶν πραγμάτων* 23 Ammon. v. *ζῆλος* p. 64 V. *'ζηλοῖ — γείτων' Ἡσίοδος ἐπὶ καλοῦ* Et. gen. et mag. [Et. Tittm. 956] v. *ζῆλος* (411, 22 G.) . . *ἢ ὁ ζητῶν πρός τινα ἄλλον ζῆν οἷον 'ζηλοῖ — γείτων'* Ioann. Doxop. comm. in Hermog. *περὶ ἰδεῶν* VI p. 85, 11 W. . . *ὡς τὸ 'ζηλοῖ — γείτων'* Eust. Hom. 1527, 38 *ζῆλος δὲ μίμησις καλοῦ, οἷον 'ζηλοῖ — γείτων'* (cf. Lex. Vindob. 96, 6 N. *ζῆλος δὲ μίμησις· Ἡσίοδος· 'ζηλοῖ — γείτων'*) Thomas Mag. v. *ζηλῶ* p. 166, 2 R. . . *'ζηλοῖ — γείτων' παρ' Ἡσιόδῳ* 24 'Longinus' *περὶ ὕψους* II 13 (I 263, 9 Sp.) *'ἀγαθὴ' γὰρ κατὰ τὸν Ἡσίοδον 'ἔρις ἥδε βροτοῖσι'* Galen. X 6 K. . . *τὴν ἀγαθὴν ἔριν ἐκείνην, ἣν Ἡσίοδος ἐπῄνει* . . idem X 7 K. *νυνὶ δ' ἀπόλωλε μὲν ἡ ἀγαθὴ ἔρις . . . ἐπικρατεῖ δ' ἡ πονηρά* Theodor. Metoch. Misc. phil. et hist. 631 M.-K. . . . *ἐνταῦθα φαίη τις ἄν, καὶ τὴν ἀγαθὴν καθ' Ἡσίοδον βροτοῖς ἔριν πρὸς τὰς ἀγαθοεργίας ἐπαίρειν* cf. Eust. Hom. 1162, 14 *οἱ μὲν γὰρ ἔριθοι συχνὰ ῥίπτουσι δράγματα κατὰ ἔριν ἀγαθήν* 25 sq. Stob. III c. 38 s. 25 (III 713, 3 H.) *Ἡσιόδου Ἔργων· 'καὶ κεραμεὺς — ἀοιδῷ'* Donat. comm. Suetonii Vitae Vergili adiect. (Sueton. p. 67 R.) . . *an, inquit,*

---

c. 554 *χατίζει*] C (*ι* vocalis in foramine periit) Stobaei cod. A, suasit Danielsson Eranos suec. I 4 sq. Schoemanni ed. 14 sq. interpretationem (*ἔργοιο χατίζειν* = 'laboris cupidum fieri') secutus, *χατίζει* superscr. *γρ. χατίζων* F; *χατίζων* libri cett. Galenus Stobaei cod. S Tzetzes 52, 22 Moschopulus 52, 26 G., *χατίζοντα* Stobaei cod. M

22 *πλούσιον, ὃς*] libri testes; *πλησίον, ὃς* Danielsson l. c. 5 sq.; *ἀφνειὸν* (servato *χατίζων*) dubitans Kirchhoff Hes. Mahnl. 4 *ὃς*] *ὁ* Lehrs Quaest. ep. 222 adn. 2, *ὡς* ('ut festinat!') Hagen Melet. crit. 14, *ὥς* (= *οὕτως*) Schoemann ed. 15 *χατίζων* retinentes *ἀρώμεναι*] CF m¹ (*ω* in *ο* mut. m²) KE m¹ (rasura *ο* ex *ω* factum, alterum *μ* additum m. recentissima) N, *ἀρόμεναι* superscr. *ω* MPQ, *ἀρόμεναι* DIL Stobaeus, *τ' ἀρόμεναι* O, *ἀρόμμεναι* G; syllabam alteram metri causa produci censet Solmsen Unters. z. gr. Laut- u. Versl. 17 23 *τε*] *τοι* Lex. Vindob. 24 postea additum esse suspicatus est Hermann Op. VI 222; pro suspecto habuit Paley ed.¹ 9 *ἄφενος*] C (super *ς* m. al. *ν* scr., cuius vestigium remansit) Plutarchus Stobaei codd. SA (cf. Danielsson l. c. 1 adn. 1), *ἄφενον* m¹ superscr. *σ* F; *ἄφενον* G(H)ΨΦ (*ν* in ras. O, *ς* m. alia superscr. Q) Orac. Sib. schol. vetus 54, 6 G. Stobaei cod. M schol. Oppiani; cf. ad 637 *σπεύδοντ'*] *σπεύδοντ'* (*α* superscr.) Q (*σπεύδοντα* '*ἐκ πλήρους*' Plutarchus schol. Oppiani), *σπεύδων* Stobaeus *δ'*] *δὲ* D 25—41 ab antiquo poeta posterius huc esse adiectos putavit Goettling ed.¹ 138 (ed.² 162) 25 sq. suppositos esse censuit Twesten Comm. crit. de Hes. Op. et Dieb. 15 adn. 17, a prioribus avellendos Lehrs Quaest. ep. 222 adn. 3 25 *κεραμεὺς κεραμεῖ*] *κεραμεῖ κεραμεὺς* Aristoteles Polit. (cf. Plutarchus Mor. 92 a) *κοτέει*] *φθονέει* e v. sequente Olympiodorus II 179 *καὶ τέκτονι τέκτων*] cum versus 26 hemistichio priore (*καὶ — φθονέει*) con-

καὶ πτωχὸς πτωχῷ φθονέει καὶ ἀοιδὸς ἀοιδῷ.

ὦ Πέρση, σὺ δὲ ταῦτα τεῷ ἐνικάτθεο θυμῷ,

---

27 ψ 223 ἐῷ ἐγκάτθετο θυμῷ*

---

26 cf. Eurip. Androm. 476 *τεκτόνοιν θ' ὕμνοιν ἐργάταιν δυοῖν | ἔριν Μοῦσαι φιλοῦσι κραίνειν*

Hesiodi sententiae non meministi? ubi ait 'καὶ κεραμεὺς — ἀοιδῷ'? Plato Lys. p. 215 C *καὶ δὴ καὶ τὸν Ἡσίοδον ἐπήγετο μάρτυρα λέγων ὡς ἄρα 'καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ ἀοιδὸς ἀοιδῷ | καὶ πτωχὸς πτωχῷ'* Priscian. Inst. XVIII 145 . . *auctorque est huius Hesiodus dicens 'καὶ πτωχὸς πτωχῷ φθονέει καὶ τέκτονι τέκτων'* cf. Themist. XXII p. 275 d (334, 27 D.) *εἰ δ' οὖν σε δαίμων ξυζεύξειεν ἢ ῥήτορα ὄντα ῥήτορι ἢ ἰατρὸν ἰατρῷ ἢ γραμματιστὴν γραμματιστῇ, μήτοι πρὸς τὸν φίλον φιλονεικεῖν, ἀλλὰ μᾶλλον πρὸς τὸν Ἡσίοδον· μηδὲ ἐκεῖνον χείρω σεαυτοῦ διελέγχειν, ἀλλὰ τὸν ποιητὴν μᾶλλον ἀπολειφθέντα τῆς ἀληθείας* . . 25 Plutarch. Mor. 473 a (III 229, 10 B.) *δεῖ δέ . . . . μὴ τὸν Ἡσίοδον ἐλέγχειν ἐνδεέστερον εἰπόντα 'καὶ κεραμεὺς — τέκτων'* Dio Prus. LXXVII 1 (II 207, 1 A.) . . . *πάντα μουσικά τε καὶ σοφὰ ἐφθέγγετο (Ἡσίοδος) καὶ οὐδὲν μάταιον, ὧν δῆλον ὅτι καὶ τοῦτο τὸ ἔπος ἐστίν· — τὸ ποῖον; 'καὶ κεραμεὺς — τέκτων'* Olympiod. in Plat. Alcib. prior. II 179 Cr. *οὐ μὲν καὶ στέργουσιν ἀλλήλους (οἱ κεραμεῖς) διὰ τὸ 'καὶ κεραμεὺς — τέκτων'* Tertullian. adv. gent. I 19 *sic figulus figulo, faber fabro invidet* Philostr. vit. soph. II 54, 30 K. . *ὅθεν ὁ Ἡρώδης διετώθαζεν αὐτὸν ἐκεῖνο ἐπιλέγων 'καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ ῥήτορι* (consulto mut.) *τέκτων'* Themist. XXI p. 256 d (312, 25 D.) *ἐγὼ δὲ προσεῖχον Ἡσιόδῳ τῷ ποιητῇ χυτρέα χυτρεῖ κοτέειν καὶ ἱπνοποιὸν ἱπνοποιῷ* 25 hemist. prius] Aristot. Rhet. II 10 . . . *ὅθεν εἴρηται 'καὶ κεραμεὺς κεραμεῖ'* idem l. c. II 4 *γίγνεται γὰρ οὕτω 'καὶ κεραμεὺς κεραμεῖ'* idem Polit. V 8 *ἐναντίαι δ' αἱ πολιτεῖαι, δῆμος μὲν τυραννίδι καθ' Ἡσίοδον ὡς 'κεραμεῖ κεραμεύς'* idem Eth. Nicom. VIII 1 *οἱ δ' ἐξ ἐναντίας κεραμεῖς πάντας τοὺς τοιούτους (ἐναντίους) ἀλλήλοις φασὶν εἶναι* Eudem. Eth. [Aristot. Eth. Eudem.] VII 1, 9 (p. 70 S.) *καὶ γὰρ 'κεραμεὺς κεραμεῖ κοτέει'* Olympiod. in Plat. Alcib. prior. II 192 Cr. *οὐ μὲν στέργουσι (οἱ τεχνῖται ἀλλήλους) διὰ τὸ 'καὶ κεραμεὺς — κοτέει'* Choerobosc. *εἰς τοὺς ψαλμ.* III 95, 2 G. *κεραμεύς . . . τὸ ρ̅α̅ βραχὺ ὡς παρ' Ἡσιόδῳ· 'καὶ κεραμεὺς — κοτέει'* Macar. IV 86 (Paroem. gr. II 176, 8) *'καὶ κεραμεὺς — κοτέει' ἐπὶ τῶν ὁμοτέχνων διαφθονουμένων*

26 Plutarch. Mor. 618 f (IV 19, 14 B.) *σοφιστὴν δὲ κωλύω συγκατακλίνεσθαι σοφιστῇ καὶ ποιητὴν ποιητῇ· 'πτωχὸς' γὰρ 'πτωχῷ' ⟨φθονέει⟩ 'καὶ ἀοιδὸς ἀοιδῷ'* Schol. Eurip. Androm. 476 (II 286, 13 Schw.) . . . *παρὰ τὸ Ἡσιόδου 'καὶ πτωχὸς — ἀοιδῷ'* Aristid. II 220, 13 K. *μόνος δὲ καὶ τὸν Ἡσίοδον ἤλεγξεν (Ἀλέξανδρος) ψευδόμενον ποιήσαντα, ὅτι καὶ ἀοιδὸς ἀοιδῷ φθονέει* 26 sq. Phavorin. Eclog. Gramm. Gr. I 364, 5 D. *ὅτε δὲ κύριόν ἐστιν, ὡς εἴρητο, (τὸ Πέρσης), εἰς η̄ ποιεῖ τὴν κλητικήν, ὡς παρ' Ἡσιόδῳ 'καὶ πτωχὸς — ὦ Πέρση'* 27 sqq. cf. Gregor. Theol. Carm. II 2, 7, 241 sq. *Πέρση δ' Ἀσκραῖος ἀείδοι | Ἡσίοδος* 27—29 Et. gen. Gud. v. *κακόχαρτος* (schol.) . . *Ἡσίοδος ἐν Ἔργοις καὶ Ἡμέραις (ἐν Ἔ. κ. Ἡ.* om. Et. gen. cod. B)· *'ὦ Πέρση — ἐόντα'* cf. Et. Tittm. v. *κακόχαρτος . . . Ἡσίοδος· 'μηδέ σ' ἔρις*

---

iungit Priscianus, *καὶ ῥήτορι τέκτων* (poetae verba consulto mutans) Philostratus, *καὶ ἀοιδὸς ἀοιδῷ* e v. 26 Plato

27 om. Et. gen. cod. B *Πέρση*] *περσή˜* C *ἐνικάτθεο*] *συγκατέθεο* Et. gen. cod. A

μηδέ σ' Ἔρις κακόχαρτος ἀπ' ἔργου θυμὸν ἐρύκοι
νείκε' ὀπιπεύοντ' ἀγορῆς ἐπακουὸν ἐόντα.
ὤρη γάρ τ' ὀλίγη πέλεται νεικέων τ' ἀγορέων τε,
ᾧ τινι μὴ βίος ἔνδον ἐπηετανὸς κατάκειται
ὡραῖος, τὸν γαῖα φέρει, Δημήτερος ἀκτήν.
τοῦ κε κορεσσάμενος νείκεα καὶ δῆριν ὀφέλλοι

---

32 N 322 *Δημήτερος ἀκτήν**

---

31 Pind. Nem. VI 10 *βίον . . ἐπηετανόν*

⟨κακόχαρτος⟩ — ἐρύκοι' Et. mag. v. *'κακόχαρτος Ἔρις' · 'Ησίοδος* 27 Choerob. I 163, 32 H. *τὸ γὰρ κύριον ὄνομα τὸ Πέρσης εἰς η̄ ἔχει τὴν κλητικήν, οἷον, ὦ Πέρση, ὡς παρ' Ἡσιόδῳ 'ὦ Πέρση — θυμῷ'* (cf. Stephan. Byz. v. *Πέρσαι* p. 518 M.)

28 Galen. X 7 K. *ὥσπερ Ἡσίοδος 'μηδέ — ἐρύκοι'* 29 Et. Tittm. v. *ὀπιπτεύοντα . . . Ἡσίοδος 'νείκε' — ἐόντα'* Apoll. Dysc. de constr. p. 330, 15 *παρασύνθετον δὲ τὸ μὴ ἀναβιβάσαν τὸν τόνον, καθὸ οὐδὲ συνετέθειτο, συνθέτῳ δὲ ῥήματι παρέκειτο, τῷ ἐπακούω τὸ 'ἀγορῆς ἐπακουὸν ἐόντα'* 30 Schol. Soph. Trach. 56 p. 283, 2 P. *καὶ Ἡσίοδος 'ὤρη — πέλεται'* Harpocr. I 155, 3 v. *θεωρικά . . 'ὤρη — ἀγορέων τε'* Anonym. Ambros. de re metr. Anecd. var. gr. p. 244, 34 St. *καὶ τὸ 'ὤρη — ἀγορέων τε'* Suid. II a 1266 B v. *ὡρακιάσας· . . Ἡσίοδος 'ὤρη — νεικέων'* 31 Apoll. Dysc. de coniunct. p. 502, 22 (I 1, 236, 7 Schn.) *καὶ δῆλον ἐκ τῆς δισσῆς κλίσεως οὗ τινος, 'ᾧ ⟨τινι⟩ μὴ βίος ἔνδον', ὅν τινα* 32 Eust. Hom. 1528, 9 *καὶ ἐκ τοιαύτης μίξεως ὁ πλοῦτος γεννᾶται, ὁ 'ὡραῖος' δηλαδή, ὃν 'γαῖα — ἀκτήν'* cf. Schol. Oppian. Hal. III 463 B. *Δήμητρι . . . . τῷ σίτῳ καθ' Ἡσίοδον κτλ.* 33 Schol. Hom. Ven. B Townl. Genav. *Α* 211 (III 41, 35 D., V 23, 6 M., I 7, 25 N.) . . . *οὕτως διὰ τὸ τοῦ μείζονος ἐκτρέψαι* (*ἐκτρέπειν* Genav.) *τὸ ὀλίγον συγχωρεῖ ὡς καὶ* (om. Genav.) *Ἡσίοδος 'τοῦ κε — ὀφέλλοις'* (poetae verba om. Genav.), (cf. Anecd. Par. III 128, 13 Cr. Anecd. Gr. II 409, 9 Matr.) Eust. Hom. 88, 24 *καθὰ καὶ Ἡσίοδος τῷ ἀδελφῷ παραχωρεῖ, πλούτου κορεσάμενον, τότε δὴ νείκεα ὀφέλλειν, ἤτοι φιλονεικεῖν*

---

28 *μὴ κακόχαρτος Ἔρις σ' ἀπὸ Ϝέργου θυμὸν ἐρύκοι* Lennep ed. 4, *μὴ κακόχαρτος Ἔρις Ϝέργου σ' ἀπὸ θυμὸν ἐρύκῃ* Schoemann ed. 18 *Ἔρις κακόχαρτος*] libri Galenus Et. gen. Gud., *κακόχαρτος* omissum in Et. Tittm., *κακόχαρτος Ἔρις* Et. mag. *ἀπ' ἔργου θυμὸν*] *ἀεργὸν θυμῷ* Bentley, *ἀϜεργὸν θυμὸν* Paley ed.[1] 9 *ἐρύκοι — 29 ἐόντα*] om. Et. gen. cod. B *ἐρύκοι*] *ἐρύκει* superscr. *οι* m[2] Q, *εὐράκοι* Et. gen. cod. A 29 *νείκε'*] *νείκη* Et. gen. cod. A *ὀπιπεύοντ'*] D, *ὀπισπεύοντ'* C, *ὀπιπτεύοντ'* libri cett. Et. Tittm., *ὀππισππεύων* Et. gen. cod. A *ἀγορῆς*] *ἀγορῆς τ'* EN 30 *ὤρη*] CEIQ Harpocratio schol. Soph. scholion vetus 'Procli' 57, 2 G. (*'ψιλοῦται δὲ τὸ ὤρη, νῦν γὰρ τὴν φροντίδα σημαίνει'*) Suidas Tzetzes 57, 11 G. (*'ἡ φροντίς· καὶ ψιλοῦται'*); *ὥρη* m[1], spiritu aspero m. rec. in lenem mutato, D; *ὥρη* libri cett. Anonym. Ambrosianus, cui scripturae patrocinatus est Lehrs Quaest. ep. 223 adn. 4 *ἀγορέων*] *ἀγορῆς* v. Leeuwen Enchir. dict. ep. 196 31 *κατάκειται*] *κατακῆται* dubitans Steitz l. c. 31 adn. 2, *κατακέηται* Sittl ed. 480 32 subditicium esse suspicatur Paley ed.[1] 10 *φέρει*] *φαίρει* N 33 sqq. cum antecedentibus cohaerere non posse arbitratur Lehrs Quaest. ep. 223 adn. 5 33 *κε κορεσσάμενος*] *καὶ κορεσάμενος* D, *κεκορεσσάμενος* corruptum KMNQ Tzetzes 61, 15 G. *νείκεα καὶ δῆριν*] *δῆριν καὶ νείκε'* Hermann Orph. 822; *νεῖκος* (?) *καὶ δῆριν* v. Leeuwen Enchir. dict. ep. 222 adn. 1 *ὀφέλλοι*] Schoemann ed. 16, *ὀφέλλοις* (*ὀφέλοις* D) libri schol. Hom.

κτήμασ' ἐπ' ἀλλοτρίοις· σοὶ δ' οὐκέτι δεύτερον ἔσται
ὧδ' ἔρδειν· ἀλλ' αὖθι διακρινώμεθα νεῖκος
ἰθείῃσι δίκῃς, αἵ τ' ἐκ Διός εἰσιν ἄρισται.
ἤδη μὲν γὰρ κλῆρον ἐδασσάμεθ', ἄλλα τε πολλὰ
ἁρπάζων ἐφόρεις μέγα κυδαίνων βασιλῆας
δωροφάγους, οἳ τήνδε δίκην ἐθέλοντι δίκασσαν.

νήπιοι, οὐδὲ ἴσασιν, ὅσῳ πλέον ἥμισυ παντὸς

---

40 *B* 38 *νήπιος, οὐδὲ τὰ ᾔδει**

---

40 cf. Simonid. Ceus Fr. 85, 11 B.[4] *νήπιοι . . . οὐδὲ ἴσασιν* Ovid. Fast. V 718 *dimidium toto munere maius erit*

---

34 sq. Moschop. in Op. 639 p. 365, 11 G. *τὸ σὺ* (= *τύνη* v. 639) *οὐ πρὸς ἕτερον πρόσωπον λέγεται, ἀλλ' οὕτω κἀνταῦθα λέγεται ὡς ἐν τῷ 'σοὶ δ' — ἔρδειν'* 37 sq. Et. Tittm. v. *ἐφόρεις· . . . Ἡσίοδος· 'ἄλλα τε — ἐφόρεις'* 38 sq. Et. gen. Tittm. v. *δωροφάγους·* (schol.) *Ἡσίοδος· 'ἁρπάζων — δικάσσαι'* 39 sq. Tzetz. Chil. VII 232 sqq. *Ἡσίοδος τὸν ἀδελφὸν ἀργίας ἀποτρέπων | καὶ δικασταῖς χαρίζεσθαι τῷ χαίρειν τοῖς ἀδίκοις | λέγει τρανῶς, ὡς ἄδικα τῶν δικαστῶν τὰ γένη, | οὐκ ἀκριβῶς γινώσκοντα, πόθεν κερδαίνειν δέον, | οὐδ' οὗ τὸ ἥμισύ ἐστι τοῦ ὁλοκλήρου πλέον, | τουτέστι τὸ βραχύτατον τὸ ἐκ δικαίου μέρος, | ὅπερ πολλῶν καθέστηκεν ἀδίκων ὑπερφέρον* 39 Dio Prus. LXXX 12 (II 226, 4 A.) *βασιλῆας δωροφάγους* respiciens: *μετὰ δὲ ταύτην ἦλθεν ἑτέρα, κλοιόν τινα φέρουσα χρυσοῦν ἢ ἀργυροῦν. τοῦτον δὲ περιθεῖσα ἕλκει μὲν ἰδιώτας περὶ πᾶσαν γῆν καὶ θάλασσαν, ἕλκει δὲ βασιλεῖς καθ' Ἡσίοδον* Eust. Hom. 91, 2 . . *οἱ* . . *παρ' Ἡσιόδῳ δωροφάγοι βασιλεῖς* . . 40 sq. Gell. Noct. Att. XVIII 2, 13 *sexta quaestio fuit, asphodelum cuius modi herba sit, quod Hesiodus in isto versu posuerit: 'νήπιοι — μέγ' ὄνειαρ', et quid item Hesiodus se dicere sentiat, cum dimidium plus esse toto dicit* Stob. III c. 10 s. 11 (III 410, 16 H.) *Ἡσιόδου Ἔργων· 'νήπιοι — ὄνειαρ'* (cf. ad 41) 40 Plutarch. Mor. p. 36 a (I 87, 21 B.) *τὸ δὲ 'νήπιοι — παντός' καὶ τὸ 'ἡ δὲ — κακίστη'* (Op. 265) *ταὐτόν ἐστι τοῖς Πλάτωνος ἐν Γοργίᾳ καὶ Πολιτείᾳ δόγμασι κτλ.* Schol. Soph. Oed. Col. 1211 p. 450, 11 P. . . . *καὶ ἔοικε τῷ ⟨παρ'⟩ Ἡσιόδῳ 'νήπιοι — παντός* Olympiod. in Plat. Gorg. 108 (JbfPh. Suppl. XIV 283) . . . *ὡς εἶναι ἀληθὲς τὸ τοῦ Ἡσιόδου· 'νήπιοι — παντός'* Suid. I b 856 B v. *ἡμίσεα· ἥμισυ παντός· Ἡσίοδος 'νήπιοι — παντός'* idem II a 976 v. *νήπιος· 'νήπιοι — παντός'* Gregor. Cypr. II 89 (Paroem. Gr. II 83, 1) *'οὐδ' ἴσασιν — παντός'* Apostol. XII 9 c (Paroem. Gr. II 544, 14) *'νήπιοι — παν-*

---

34 *δ'*] *δὲ* D *ἔσται*] *ΩΨΦ* Moschopulus; *ἔστιν* (m̄[1] superscr. *αι*) cod. Laurent. 'acquisitus' ('Laur. acquisti') 60 s. XIV (quod commendavit Schoemann ed. 16) 36 *ἰθείῃσι δίκῃς*] C m[1] (*ἰθείῃισι δίκῃισ* m. rec. in *ἰθείαισι δίκαις* mut.), F; *ἰθείῃσι δίκαις* G, *ἰθείῃσι* (*ἰθείῃσιν* E) *δίκῃσιν* (*δίκησιν* E) *Φ*, *ἰθείῃσι δίκαις Ψ* 37 *ἐδασσάμεθ'*] *ἐδασσάμεθα* E m[1] L *ἄλλα τε πολλὰ*] *ἄλλά τε πολλὰ* CEILN, *ἀλλά τε* accentu priore m[2] addito D, *ἀλλὰ τὰ πολλὰ* Guyet Not. in Hes. 144 38 om. Et. gen. cod. B 39 *δωροφάγους*] *δωροφάγοι* Et. gen. cod. B *ἐθέλοντι δίκασσαν*] Schoemann ed. 17 sq., *ἐθέλουσι δικάσσαι* (*δικάσαι*) libri Et. gen. Tittm., *ἐθέλουσι δίκασσαν* Hermann JbfPh. 1837, 128 40 sq. a superioribus seiungit Lehrs Quaest. ep. 224 adn. 6 40 *οὐδὲ*] G Gellius Olympiodorus, *οὐδ'* CFΨΦ Plutarchi codd. schol. Soph. Stobaeus Suidas Gregorius Cypr. Apostolius (Arsenius) *ἴσασιν*] *ἴσσασιν* C

οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.

---

41 *δ* 444 μέγ' ὄνειαρ*

---

41 Epigr. gr. ed. Kaibel 1135, 1 (cf. Eust. Hom. 1698, 25) μολάχην τε καὶ ἀσφόδολον

τός' idem XII 9 d (l. c. 544, 20) νήπιος οὐκ ἐνόησεν 'ὅσῳ — παντός' (Arsen. p. 357 W. 'νήπιοι — παντός') 40 hemist. alterum] Plato de Republ. V p. 466 C . . γνώσεται τὸν Ἡσίοδον ὅτι τῷ ὄντι ἦν σοφὸς λέγων πλέον εἶναί πως ἥμισυ παντός idem de Leg. III p. 690 E . . . ἆρ' οὐκ ἀγνοήσαντες τὸν Ἡσίοδον ὀρθότατα λέγοντα, ὡς τὸ ἥμισυ τοῦ παντὸς πολλάκις ἐστὶ πλέον; Polyb. VI 2, 18 πρᾶγμα ποιῶν φρονίμου καὶ νουνεχοῦς ἀνδρός, τὸ γνῶναι κατὰ τὸν Ἡσίοδον 'ὅσῳ — παντός' Socratic. Epist. XXXI (Epistologr. p. 632) Περδίκκας μὲν ἐνδεδεῖχθαί μοι δοκεῖ περὶ πολλοῦ ποιούμενος κατὰ τὸν Ἡσίοδον τὰ ἡμίσεα πάντων κεκτῆσθαι Dio Prus. XVII 12 (II 247, 12 A.) ὁ δὲ Ἡσίοδος καὶ πλέον εἶναι τοῦ παντὸς τὸ ἥμισυ (φησίν) Schol. Hom. Ven. B *I* 160 (III 382, 26 D.) 'ὅσῳ — παντός' τουτέστι τὸ ὀλίγον μετὰ δικαιοσύνης τοῦ πολλοῦ μετὰ ἀδικίας πλείονα ἔχει τὴν ὄνησιν, Ἡσίοδός φησιν (cf. Macar. VI 53 (Paroem. Gr. II 195, 5) 'ὅσῳ — παντός' βούλεται λέγειν ὅτι μετὰ δικαιοσύνης μεῖζον τοῦ ὁλοκλήρου τὸ ἥμισυ) Suid. II a 1184 'ὅσῳ — παντός' Ἡσίοδός φησιν Eust. Hom. 1822, 48 . . . καὶ τὸ 'ὅσῳ — παντός' παρ' Ἡσιόδῳ [1])

41 Plutarch. Mor. 940 c (V 457, 11 B.) ἣν δ' Ἀμμώνιος ἡμῖν αὐτὸς ἐξηγεῖτο δύναμιν, ᾐνίξατο μὲν Ἡσίοδος εἰπὼν 'οὐδ' — ὄνειαρ' idem l. c. 157 e, f (I 385, 23 B.) ἐκεῖνος (Ἡσίοδος) γάρ ἐστιν ὁ πρῶτος Ἐπιμενίδῃ σπέρματα τῆς τροφῆς ταύτης παρασχὼν καὶ ὁ ζητεῖν διδάξας 'ὅσον — ὄνειαρ' Galen. VI 652 K. Ἡσίοδος μὲν ἔοικεν ἐπαινεῖν τὸν ἀσφόδελον ἐν οἷς φησιν 'οὐδ' — ὄνειαρ' Athen. II 58 d (I 136, 26 K.) Ἡσίοδος· 'οὐδ' — ὄνειαρ' Schol. Theocr. VII 68 (II 260, 9 A.) καὶ Ἡσίοδος 'οὐδ' — ὄνειαρ' Schol. Rav. Aristoph. Plut. 253 (I 32 R.) ταὐτὸν θύμον φαγόντες· ὅτι παρῴδηται ἐκ τῶν Ἡσιόδου (⟨νήπιοι — παντὸς⟩ supplet Rutherford) 'οὐδ' — ὄνειαρ' unde sua Suid. v. θύμος I b 1224 B, qui 'οὐδ' — ἀσφοδέλῳ' laudat; idem v. ἀσφόδελος I a 821 B (cf. Anecd. I 157 Bachm. Anecd. I 457, 10 Bekk. Anecd. Par. I 398, 5 Cr. IV 166, 31 Cr.) προπαροξυτόνως δὲ ἀναγνωστέον 'οὐδ' — ὄνειαρ' Macar. VI 77 (Paroem. Gr. II 198, 5) 'οὐδ' — ὄνειαρ' ἐπὶ τῶν οὐδὲν ἀκαρῆ χρησίμων γενομένων Apostol. IV 14 c (Paroem. Gr. II 313, 18) καὶ Ἡσίοδος 'οὐδ' — ὄνειαρ' Theophr. Hist. Plant. VII 13, 3 καὶ γὰρ ὁ ἀνθέρικος ἐδώδιμος σταθευόμενος καὶ τὸ σπέρμα φρυγόμενον καὶ πάντων δὲ μάλιστα ἡ ῥίζα κοπτομένη μετὰ σύκου καὶ πλείστην ὄνησιν ἔχει καθ' Ἡσίοδον cf. Plin. Nat. hist. XXI 17, 108 *asphodelus manditur et semine tosto et bulbo, sed hoc in cinere tosto, dein sale et oleo addito, praeterea tuso cum ficis, praecipua voluptate, ut videtur Hesiodo* Plutarch. Mor. 158 a (I 386, 12 B.) . . . τῆς πρώτης ὑπομνήματα τροφῆς καὶ δείγματα μετ' ἄλλων εὐτελῶν καὶ αὐτοφυῶν μαλάχην καὶ ἀνθέρικον, ὧν εἰκός ἐστι καὶ τὸν Ἡσίοδον προξενεῖν ἡμῖν τὴν λιτότητα καὶ τὴν ἀφέλειαν cf. Plato de Leg. III p. 677 E πολὺ γὰρ ὑμῖν ὑπερεπήδησε τῷ μηχανήματι τοὺς ξύμπαντας, ὦ φίλε, ὃ λόγῳ μὲν Ἡσίοδος ἐμαντεύετο πάλαι, τῷ δὲ ἔργῳ ἐκεῖνος ἀπετέλεσεν, ὡς ὑμεῖς φατε

---

41 eiecit Flach d. hes. Ged. 6 τε] om. D μέγ'] μέγα D, MEIN Gellii codd. OΠN, ἓν Stobaeus (ἓν Anecd. Bachm. et Bekk.)

---

1) Cf. Laert. Diog. I 4, 2 Σωσικράτης δέ φησιν ὅτι (Πίττακος) ἔφη τὸ ἥμισυ τοῦ παντὸς πλεῖον εἶναι. de sententia 'ἀρχὴ δέ τοι ἥμισυ παντός' cf. Fragm. fals. 5

Κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισιν·
ῥηιδίως γάρ κεν καὶ ἐπ' ἤματι ἐργάσσαιο,
ὥς τέ σε κεὶς ἐνιαυτὸν ἔχειν καὶ ἀεργὸν ἐόντα·
αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο,

---

42 sqq. Vergil. Georg. I 121 sq. *pater ipse colendi | haud facilem esse viam voluit primusque per artem | movit agros curis acuens mortalia corda* 42 cf. Arat. 768 *πάντα γὰρ οὔ πω | ἐκ Διὸς ἄνθρωποι γινώσκομεν, ἀλλ' ἔτι πολλὰ | κέκρυπται* 45 Vergil. Georg. I 175 *et suspensa focis explorat robora fumus* cf. Aristoph. Ach. 279 *ἡ δ' ἀσπὶς ἐν τῷ φεψάλῳ κρεμήσεται* (cf. ad 629)

---

42 Plutarch. Mor. de anim. 4 (VII 27, 1 B.) *'κρύψαντες — ἀνθρώποισι' κατὰ τὸν σοφὸν Ἡσίοδον* Eusebius Praepar. evang. XIV 4, 14 (II 263, 21 D.) *ἐπῄνει (Ἀρκεσίλαος) γοῦν Ἡσιόδου τουτὶ τὸ ἀπόφθεγμα 'κρύψαντες — ἀνθρώποισιν'* Synes. de insomn. t. 66 c. 1284 A M. *'κρύψαντες — ἀνθρώποισιν'* idem de provid. II t. 66 c. 1280 A M. *'κρύψαντες — ἀνθρώποισιν'* Schol. Eurip. Hipp. 932 (II 105, 18 Schw.) . . *ὡς καὶ Ἡσίοδος 'κρύψαντες — ἀνθρώποισιν' ἀντὶ τοῦ κεκρύφασι* Schol. Aristoph. Plut. 90 p. 329, 30 D. *παρῴδηται ἐκ τῶν Ἡσιόδου 'κρύψαντες — ἀνθρώποισιν'* Schol. Hes. Theog. 563 p. 263, 8 Fl. *τοῦτο ὅμοιον τῷ εἰς τὰ Ἔργα καὶ τὰς Ἡμέρας ῥηθέντι· 'κρύψαντες — ἀνθρώποισι'* Stob. II c. 1 s. 7 (II 4, 17 W.) *Ἡσιόδου· 'κρύψαντες — ἀνθρώποισι'* Nicephor. in Synes. p. 357 B Pet. *βεβαιοῖ δὲ τοῦτο (Συνέσιος) διὰ τῶν τοῦ Ἡσιόδου ἐπῶν· ἔκρυψαν γάρ, φησιν, οἱ θεοὶ τοῖς ἀνθρώποις τὸν ἄπονον βίον* . . . Moschop. in Hes. Op. 110 p. 111, 31 G. *λέγει δὲ (Ἡσίοδος) πάντας τοὺς θεοὺς τὸ τοῦ ἑνὸς ἔργον ἐπὶ πάντας τοὺς ὁμοειδεῖς ἀναφέρων, οἷον ποιεῖ καὶ ἐν τῷ 'κρύψαντες — θεοί'* 45 sq. Plutarch. Mor. 527 c (III 365, 10 B.) *οὐκ 'αἶψά κε — ταλαεργῶν', ἀλλὰ χρυσοχόων κτλ.* idem l. c. p. 157 f (I 386, 9 B.) *πῶς οὖν οὐκ ἂν τῷ Ἡσιόδῳ τὸ 'πηδάλιον μὲν ὑπὲρ καπνοῦ' κείμενον 'ἔργα — ταλαεργῶν', εἰ τοσαύτης δεήσει παρασκευῆς;* 45 Schol. Rav. Aristoph. Ach. 279 II 295 R. *ἐν τῷ φεψάλῳ . . . Ἡσίοδος· 'αἶψα — καταθεῖο'* ibidem Av. 711 I 483 R. *καὶ πηδάλιον κτλ.· καὶ τοῦτο παρὰ τὸ Ἡσιόδειον 'αὐτίκα — καταθεῖο'* Excerpt. cod. Vatic. 292 in Gregor. Cor. ed. Schaef. p. 685 *'αἶψα — καταθεῖο' ἀντὶ τοῦ κατέθου ἐπὶ παρεληλυθότος* Gregor. Theol. Epist. 11 (t. 37 c. 41 B M.) . . . *τὰς μὲν ἱερὰς καὶ ποτίμους βίβλους ἀπέρριψας . . . ἢ ὑπὲρ καπνοῦ τέθεικας, ὡς τὰ πηδάλια χειμῶνος ὥρᾳ καὶ τὰς σκαπάνας* cf. idem Epist. 235 (t. 37 c. 377 C M.) . . *ἰδού σοι καὶ τὰ πυκτία παρ' ἡμῶν ἅπερ αἰτεῖς, ὅσα τοὺς σῆτας διέφυγε καὶ τὸν καπνόν, ὑπὲρ οὗ κατέκειτο, καθάπερ τοῖς ναυτικοῖς τὰ πηδάλια μετὰ τὸν πλοῦν καὶ τὴν ὥραν* Eust. Hom. 540, 21 *ἔχει δέ τινα πρὸς ταῦτα ὁμοιότητα καὶ Ἡσιόδου τὸ ὑπὲρ καπνοῦ θεῖναι πηδάλιον* idem l. c. 1428, 63 . . *Ἡσίοδος οἶδε πηδάλιον ὑπὲρ καπνοῦ τιθέμενον* (cf. idem l. c. 750, 40 *καὶ παροιμία*

42—202 secrevit Steitz l. c. 37 sqq. 42 *γὰρ ἔχουσι*] *παρέχουσι?* Gerhard Sitzungsb. d. Berl. Akad. 1856 p. 141 adn. 45 *βίον*] *νόον* Eusebius 43 *κεν*] *κ* (superscr. *ε*) D *κεν — ἤματι*] *καί χ' ἐνὶ ἤματι* temere Blaydes Advers. 8 *ἐπ' ἤματι*] *ἐπήματι* CD, *ἐν ἤματι* Paley ed.[1] 12, *ἐπ' ῆματι* I *ἐργάσσαιο*] *ἐργάσαιο* CEFHLN 44 *σε κεὶς*] D m[1] (coronide in *κείς* postea partim erasa), FHIKL, *σέ κ' ///εἰσ* (apostr. recens) C, *σε κ' εἰς* GENOP, *σε κεῖς* MQ, *κέ σ' εἰς* vel *καὶ εἰς* Hermann Op. VI 223 *ἔχειν*] in textu om., in marg. m. alia addit C 45 *αἶψά κε*] libri Plutarchus schol. Rav. Aristoph. Ach. Exc. Vatic., *αὐτίκα* schol. Rav. Aristoph. Av., *γρ. αὐτίκα* schol. cod. Monac. 91 *αἶψα — μὲν*] *αἶψά τε πηδάλιόν κεν* dubitans Goettling ed.[2] 166 *μὲν*] om. F

ἔργα βοῶν δ' ἀπόλοιτο καὶ ἡμιόνων ταλαεργῶν.
ἀλλὰ Ζεὺς ἔκρυψε χολωσάμενος φρεσὶ ᾗσιν,
ὅττι μιν ἐξαπάτησε Προμηθεὺς ἀγκυλομήτης·
τοὔνεκ' ἄρ' ἀνθρώποισιν ἐμήσατο κήδεα λυγρά.
κρύψε δὲ πῦρ· τὸ μὲν αὖτις ἐὺς πάις Ἰαπετοῖο
ἔκλεψ' ἀνθρώποισι Διὸς πάρα μητιόεντος
ἐν κοΐλῳ νάρθηκι λαθὼν Δία τερπικέραυνον.
τὸν δὲ χολωσάμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδώς,

---

46 κ 98 *βοῶν .. ἔργα* δ 636 *ἡμίονοι ταλαεργοί** 47 *N* 558 *φρεσὶ ᾗσιν** 49 E 156 *κήδεα λυγρά** 50 cf. *M* 98 *ἐὺς πάις Ἀγχίσαο** 52 cf. *Π* 232 *Δία δ' οὐ λάθε τερπικέραυνον* 53 *Ψ* 482 *τὸν δὲ χολωσάμενος** *Λ* 511 *προσέφη νεφεληγερέτα Ζεύς** 54 cf. *H* 278 *πεπνυμένα μήδεα εἰδώς**

---

50 Vergil. Georg. I 131 *ignemque removit* (Iuppiter)

τὸ ὑπὲρ καπνοῦ τὸ πηδάλιον idem l. c. 1586, 12 .. *καθ' ὁμοιότητα τοῦ ὑπὲρ καπνοῦ τὸ πηδάλιον* idem l. c. 1718, 53 .. *παρὰ τὸ ὑπὲρ καπνοῦ τὸ πηδάλιον*)

46 Eust. Hom. 1650, 7 ..*καὶ Ἡσίοδος 'ἔργα βοῶν δ' ἀπόλοιτο'* 47 Schol. Hes. Theog. 563 (p. 263, 8 et 11 Fl.) *τοῦτο ὅμοιον τῷ εἰς τὰ Ἔργα καὶ τὰς Ἡμέρας ῥηθέντι 'κρύψαντες — ἀνθρώποισι'* (Op. 42) *καὶ τῷ 'ἀλλὰ — ᾗσιν'* 50—105 cf. Origen. c. Cels. IV 38 p. 531 (I 308, 29 K.) *ἄρα τὰ μὲν τῷ ἐνθέῳ σου Ἡσιόδῳ εἰρημένα, ἐν μύθου σχήματι περὶ τῆς γυναικὸς ἀλληγορεῖται* . . . 50 sqq. Porphyr. in Horat. Carm. I 3, 29 *Hesiodus ait cum ignis a caelo furto Promethei subductus esset, Pandoram inmissam terris poenae causa* 53—69. 73—82 Origen. c. Cels. IV 38 p. 531 (I 309, 8 K.) . . *ὅρα εἰ μὴ τὰ Ἡσιόδου μᾶλλον γέλωτα μέλλει ὀφλεῖν ἀνδρός, ὡς φῄς, ἐνθέου τοιαῦτα γράψαντος 'τὸν δὲ — ἄνακτι'. 'ἀμφὶ — ἀλφηστῇσιν'*

---

46 non integer esse visus est Hermanno Orph. 820 *ἀπόλοιτο*] *ἀπόλοιντο* cod. Ambros. C 222 inf. 48 *ὅττι*] *ὅτι* D *ἐξαπάτησε*] *ἐξεπάτησε* α m² superscr. D, *ἐξηπάτησε* EHQ *ἀγκυλομήτης*] sic téste Proclo Plutarchus 76, 5 G. (quem *ποικιλόμητις* legisse censet Dimitrijević Stud. Hes. 167), Tzetzes 75, 10; *ἀγκυλομητισ* sine accentu C, *ἀγγυλομήτης* M, *ἀγκυλομήτισ* *ισ* in *ησ* mutato O, *ἀγκυλόμητις* P Moschopulus (*ἰστέον ὅτι τὸ ἀγκυλόμητις . . . προπαροξύνεται καὶ διὰ τοῦ ῑ γράφεται*) cf. Nauck MGrR. IV 120 V 149 Naber Mnem. n. s. XII 348; *ποικιλομήτης* (vel *ποικιλόμητις*, cf. Dimitrijević l. c. 145 adn. 2) quosdam scripsisse veri simile est (v. Proclus 76, 7 G. *εἰ δὲ καὶ 'ποικιλομήτης' γράφοιτο, σημαίνει τὸν ποικίλας εἰληχότα νοήσεις*) 49—201 his (abiectis v. 93, 120 Diodori, 124 sq.) amplificatum esse carmen primum censet Kirchhoff Mahnl. 44 sqq. 49 seclusit Peppmüller JbfPh. 1890 p. 651 *ἀνθρώποισιν ἐμήσατο*] *ἀνθρώποισι μήσατο* Q, *ἀνθρώποις ἐμ.* L 50 *αὖτις*] Schaefer in Brunckii Gnom. poet. ed. novae (1817) p. 214 adn., *αὖθις* libri *ἐὺς*] om. D *πάις*] *ΩΨΦ*, *παῖς* cod. Vindob. 198 51 *ἀνθρώποισι*] *ἀνθρώποισιν* H 52 suspectus F. Schoellio de Pandora Hes. melet. crit. (Satura H. Sauppio obl.) 138 *κοΐλῳ*] *κοίλῳ* libri 53 *δὲ*] *καὶ* Origenis cod. A (Vatic. 386 s. XIII) 54 *Ἰαπετιονίδη*] C (ι m. rec. in ει mut.) M; *ἰαπετειονίδη* FH, *ἰαπετεονίδη* DI m¹ K m¹ (ε m² in ει mut. IK) LΦ, *ἰαπετεωνίδη* Origenis cod. A *μήδεα*] *κέρδεα* FG

χαίρεις πῦρ κλέψας καὶ ἐμὰς φρένας ἠπεροπεύσας
σοί τ' αὐτῷ μέγα πῆμα καὶ ἀνδράσιν ἐσσομένοισιν·
τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακόν, ᾧ κεν ἅπαντες
τέρπωνται κατὰ θυμὸν ἑὸν κακὸν ἀμφαγαπῶντες.

---

56 cf. *Γ* 50 *πατρί τε σῷ μέγα πῆμα πόληΐ τε παντί τε δήμῳ*

---

55 sqq. Gregor. Theol. Carm. I 2, 29, 115 sqq. *Πανδώρην ἐνέπουσι πυρὸς μαλεροῖο κλαπέντος | ποινὴν ἡμερίοις ἄντιτον ἐλθέμεναι | ἀντὶ πυρὸς πῦρ ἄλλο, καλοῦ κακόν, ὥς κε φλέγῃσι | καὶ πλέον, ἀσκῆσαι κάλλεσι δαιδαλέοις | δαίμονας, ἄλλο τι δ' ἄλλον ἐπίκλοπον εἰς ἓν ἄγοντας. | συμφερτὴν ἀπάτην ἀνδράσιν ἐμπελάσαι* . . . 57 Eurip. Hipp. vel. Fr. 429 p. 492 N.[2] *ἀντὶ πυρὸς γὰρ | ἄλλο πῦρ μεῖζον ἐβλάστομεν* (Dobree, *ἔβλαστον αἱ* Grotius) *γυναῖκες πολὺ δυσμαχώτερον* Palladas Anth. Pal. IX 167, 1 *ὁ Ζεὺς ἀντὶ πυρὸς πῦρ ὤπασεν ἄλλο, γυναῖκας* idem Anth. Pal. IX 165, 1 sq. *ὀργὴ τοῦ Διός ἐστι γυνή, πυρὸς ἀντιδοθεῖσα | δῶρον, ἀνιηρὸν τοῦ πυρὸς ἀντίδοτον* Nicet. Eugen. II 347 (II p. 458 H.) *Ζεὺς ἀντὶ πυρὸς ἐμπαρέσχε τῷ βίῳ | πῦρ ἄλλο δεινόν, τῆς γυναικὸς τὴν πλάσιν* 57 sq. Semon. Amorg. Fr. 7, 76 sq. B.[4] *ἆ τάλας ἀνήρ, ὅς τις κακὸν τοιοῦτον ἀγκαλίζεται* (cf. 'Susarion' v. 3, I 3 K. *κακὸν γυναῖκες· ἀλλ' ὅμως* . . | *οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ* Antiphan. Agr. Fr. 2, II 13 K. *ἔστιν δ' ἑταίρα τῷ τρέφοντι συμφορά· | εὐφραίνεται γὰρ κακὸν ἔχων οἴκοι μέγα*) Gregor. Theol. Carm. I 1, 1, 23 sq. . . *ὥς κεν ἅπαντες | τέρπωνται κατὰ θυμόν** 58 Triphiod. 138 *ἑὸν κακὸν ἀμφαγαπῶντες** cf. Gregor. Theol. Carm. II 2, 5, 142 (*οἳ*) *ἑὸν μόρον ἀμφαγαπῶσι* idem Carm. II 1, 1, 42 *τέρποντ' ἀμπλακίῃ σφέτερον μόρον ἀμφαγαπῶντες* Oppian. Cyneg. II 306 *ἑὸν δόμον ἀμφαγαπάζει**

---

55 cf. Hesych. v. '*ἠπεροπεύσας*'· *ἐξαπατήσας* 57 sq. Achill. Tat. I 8, 2 (Erot. Gr. I 45, 31 H.) *οὐκ ἀκούεις τοῦ Διὸς λέγοντος 'τοῖς — ἀμφαγαπῶντες'*; Stob. LXXIII 49 (III 44 M.) *'Ησιόδου Ἔργων· 'τοῖς — ἀμφαγαπῶντες'* Clem. Alex. Strom. VI 2 (III 132, 11 D.) . . *ἀλλὰ καὶ 'Ησιόδου λέγοντος 'σοὶ δ' ἐγὼ — τέρπωνται'* . . Olympiod. in Plat. Gorg. 198 J. (JbfPh. Suppl. XIV 540) *εἶπε δὲ ὁ 'Ησίοδος, ὅτι δέδωκεν ἡμῖν αὐτὴν* (*τὴν Πανδώραν γυναῖκα*) *καὶ ἐλάβομεν αὐτὴν 'ἑὸν κακὸν ἀμφαγαπῶντες'* 57 Origen. c. Cels. IV 38 (I 308, 29 K.) *ἄρα τὰ μὲν τῷ ἐνθέῳ σου 'Ησιόδῳ εἰρημένα ἐν μύθου σχήματι περὶ τῆς γυναικὸς ἀλληγορεῖται, ὡς ἄρα δέδοται αὕτη τοῖς ἀνθρώποις ὑπὸ τοῦ Διὸς 'κακὸν' 'ἀντὶ' τοῦ 'πυρός'* Schol. Hom. *κ* 2 (II 444, 11 D.) *ἔγημε δὲ* (*ὁ Δευκαλίων*) *Πύρραν τὴν 'Επιμηθέως καὶ Πανδώρας τῆς 'ἀντὶ' τοῦ 'πυρὸς' δοθείσης τῷ 'Επιμηθεῖ εἰς γυναῖκα* 58 Apoll. Dysc. de pron. p. 143 B (I 1, 112, 23 Schn.) *'Ησίοδος μέντοι ἐπίμεμπτός ἐστιν εἰπὼν 'ἑὸν κακὸν ἀμφαγαπῶντες', ἐν ᾧ ἑνικῷ ἀντὶ πληθυντικοῦ ἐχρήσατο* Schol. Rav. Aristoph. Lys. 1039 (II 230 R.) *καὶ 'Ησίοδος τὸ* ('*το⟨ῖς — θυμὸν*'⟩ supplet Rutherford) '*ἑὸν κακὸν ἀμφαγαπῶντες*' cf. Senec. Epist. 39 *mala sua quod malorum ultimum est amant*

---

55 *χαίρεις*] CHDIO Origenis cod. P (Paris. suppl. gr. 616 a. 1339, e corr.), *χαίροις* FGKLENPQ Origenis cod. A, *χαίροις ει* m[1] superscr. M *φρένας*] *φρέ* (cett. om.) Origenis cod. A *ἠπεροπεύσας*] spir. asper m. rec. in lenem mut. D, *ὑπεροπεύσας* Origenis cod. A 56 *σοί τ' αὐτῷ*] *σφὶν δ' αὐτοῖς* (e Fragm. 50) scribendum esse censuit Schaefer Gregor. Cor. 470 adn., sed cf. Hermann Op. VI 223 sq. *σοί τ'*] *σοὶ δὲ* D *ἐσσομένοισιν*] *ἐσομένοισιν* D 57 *τοῖς*] *σοὶ* (e versu praecedente) Clemens 58 *τέρπωνται*] *τέρπονται* DI m[1] (*ω* m[2] ex *ο* factum) LM Origenis cod. A. Stobaei cod. S, *τέρπονται ω* m. eadem superscr. Q, *τείρωνται* perperam Blaydes Advers. 8 *ἀμφαγαπῶντες*] *ἀμφαπάζων* corrupte cod. Rav. schol. Aristoph.

ὣς ἔφατ'· ἐκ δ' ἐγέλασσε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ἥφαιστον δ' ἐκέλευσε περικλυτὸν ὅττι τάχιστα
γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδὴν
καὶ σθένος, ἀθανάτῃς δὲ θεῇς εἰς ὦπα ἐίσκειν
παρθενικῆς καλὸν εἶδος ἐπήρατον· αὐτὰρ Ἀθήνην

---

59 *Α* 568 ὣς ἔφατ'* Ζ 471 ἐκ δ' ἐγέλασσε πατήρ* *Α* 544 πατὴρ ἀνδρῶν τε θεῶν τε* 60 *Ο* 146 ὅττι τάχιστα* 61 sq. *Σ* 419 sq. ἐν δὲ καὶ αὐδὴ | καὶ σθένος* 62 *Γ* 158 αἰνῶς ἀθανάτῃσι θεῇς εἰς ὦπα ἔοικεν 63 Ε 844 αὐτὰρ Ἀθήνη*

---

63 sq. cf. Hymn. Hom. Ven. 14 sq. ἣ (Ἀθήνη) δέ τε παρθενικὰς ἁπαλόχροας ἐν μεγάροισιν | ἀγλαὰ ἔργ' ἐδίδαξεν Nonn. Dion. XLI 294 sq. ἐποιχο-

---

33, 1 *Δημοδόκη⟩*] addidit Cobet Mnem. n. s. I 281 *ἀνθρώπων*] *ἀνδρῶν* schol. Od. 2 *μνήστευον*] Heyne ad Hom. Z 564, *ἐμνήστευον* schol. Iliad., *μνηστεύοντο* schol. Od. *πολλὰ καὶ*] *πόλλ'* schol. Od. 3 *διὰ*] Koechly Op. I 231 (coll. Hom. *λ* 282), *κατὰ* schol. Iliad. et Od. *εἶδος*] *κάλλος* ex eodem Homeri loco (coll. Hymn. Hom. Ven. 203) Peppmüller WfclPh. 1899 c. 148
34 testimoniorum discrepantiam Marckscheffel l. c. 297 ita explicari posse dixit, ut alterum ad Eoeas, alterum ad Catalogum referretur, quae carmina diversa fuisse persuasum habuit; Sittl vero ed. 594 adn. 1 in Apollodoro sic scribendum esse censet: *'Ἡσίοδος δὲ ⟨υἱοὺς μὲν ἐννέα, θυγατέρας δὲ δέκα, Μίμνερμος δὲ⟩ δέκα μὲν υἱούς*; aliter Stark Niobe u. d. Niob. 30

Aelianus Var. Hist. XII 36 (p. 132, 20 H.) *ἐοίκασιν οἱ ἀρχαῖοι ὑπὲρ τοῦ ἀριθμοῦ τῶν τῆς Νιόβης παίδων μὴ συνᾴδειν ἀλλήλοις. Ὅμηρος μὲν ἓξ λέγει ἄρρενας καὶ τοσαύτας κόρας, Λᾶσος δὲ δὶς ἑπτὰ λέγει, Ἡσίοδος δὲ ἐννέα καὶ δέκα, εἰ μὴ ἄρα οὐκ εἰσὶν Ἡσιόδου τὰ ἔπη, ἀλλ' ὡς πολλὰ καὶ ἄλλα κατέψευσται αὐτοῦ. Ἀλκμὰν δέκα φησί, Μίμνερμος εἴκοσι καὶ Πίνδαρος τοσούτους*

35 (62)

Schol. Townl. Hom. *Ψ* 679 (VI 434, 28 M.) *καὶ Ἡσίοδος δέ φησιν ἐν Θήβαις αὐτοῦ (Οἰδίποδος) ἀποθανόντος Ἀργείαν τὴν Ἀδράστου σὺν ἄλλοις ἐλθεῖν ἐπὶ τὴν κηδείαν τοῦ Οἰδίποδος*

36 (63)

Εἰλαρίδην Τιτυόν

Herodianus (II 387, 17 L.) in Et. mag. p. 60, 40 de formis *Ἐλάρα* et *Ἀλέρα*: *ὅτι δὲ τὸ πρῶτον ἐστὶν ἀληθές, πίστις τούτου ἐκ τοῦ παρ' Ἡσιόδῳ μετὰ προσθήκης τοῦ ῑ λέγεσθαι τὸ πατρωνυμικόν. Εἰλαρίδην γάρ φησι Τιτυόν. καθ' ὑπέρθεσιν ἄρα τὸ Ἀλέρα γέγονεν· οὕτως Ἡρωδιανός*

37 (64)

Ὅς τε Λιλαίηθεν προΐει καλλίρροον ὕδωρ

Schol. Ven. A Hom. *Β* 522 (I 116, 24 D.) *ὁ δὲ Κηφισὸς ποταμός ἐστι τῆς Φωκίδος ἔχων τὰς πηγὰς ἐκ Λιλαίας, ὥς φησιν Ἡσίοδος 'ὅς τε — ὕδωρ'*

Schol. Ven. B Hom. *Β* 523 (III 139, 14 D.) *Λίλαιον] τόπος παρὰ τὸν Παρνασσὸν ἀπὸ Λιλαίας τῆς Κηφισοῦ θυγατρός, οὗ μέμνηται καὶ Ἡσίοδος*

Eustathius Hom. 275, 16 *περιρρέει δὲ ταύτην (Λίλαιαν) ὁ ἐνταυθοῖ παρεισρυεὶς τῷ Ὁμηρικῷ λόγῳ Κηφισσός, μᾶλλον δὲ τὰς πηγὰς αὐτόθεν ποθὲν ἔχει, ὡς προσεχῶς δεδήλωκεν ὁ ποιητής, ᾧ συμφωνῶν καὶ Ἡσίοδος περὶ Κηφισσοῦ λέγει· 'ὅς τε — ὕδωρ'*

---

37 *Β* 752 *ὅς ῥ' ἐς Πηνειὸν προΐει καλλίρροον ὕδωρ*

---

37 Hymn. Hom. Apoll. Pyth. 63 *ὅς τε Λιλαίηθεν προχέει καλλίρροον ὕδωρ*

---

36 *Εἰλαρίδην*] cf. *Φιλυρίδην* Theog. 1002; *Εἰλαριάδην* Sylburg in Et. mag., *Ἐλαράδην* Boeckh ad Pind. Fragm. p. 138

37 ad Hymn. Hom. Apoll. Pyth. 63 pertinere censuit Sittl Wien. St. XII 47 (cf. Bergk Gr. Litg. I 759 adn. 44) 1 *ὅς τε*] *ὥστε* cod. Ven. A *Λιλαίηθεν*] Eustathius, *λιλαίησι* cod. Ven. A *προΐει*] cod. Ven. A, *προιεῖ* Goettling ed.[1] 237 (ed.[2] 396), cf. Hom. *Β* 752; *προχέει* Eustathius

38 (65)

Ὅς τε παρὲκ Πανοπῆα διὰ Γλήχωνά τ' ἐρυμνὴν
καί τε δι' Ἐρχομενοῦ εἱλιγμένος εἶσι δράκων ὥς

1 sq. Strabo IX 424 de Cephiso *καὶ Ἡσίοδος δ' ἐπὶ πλέον περὶ τοῦ ποταμοῦ λέγει καὶ τῆς ῥύσεως, ὡς δι' ὅλης ῥέοι τῆς Φωκίδος σκολιῶς καὶ δρακοντοειδῶς 'ὅς — ὥς'*

2 Schol. Arati 45 (p. 349, 9 M.) *τὰς δὲ δι' ἀμφοτέρας] ἀντὶ τοῦ δι' ἀμφοτέρων αὐτῶν εἰλεῖται ὁ Δράκων* . . . (13) *καὶ ἐν τούτῳ δὲ Ἡσιόδου ζηλωτὴς φαίνεται* (*Ἄρατος*)· *ἐκεῖνος γὰρ ποταμὸν εἴκασε δράκοντι εἰπών 'καί τε — ὥς', οὗτος δὲ τοὐναντίον δράκοντι ποταμὸν ἀπείκασεν*

39 (66)

Argum. Pind. Ol. XIV 1 (II 1, 292 B.) *Κηφισὸς δὲ ποταμὸς ἐν Ὀρχομενῷ, ἔνθα καὶ αἱ Χάριτες τιμῶνται· ταύταις γὰρ Ἐτέοκλος ὁ Κηφισοῦ τοῦ ποταμοῦ υἱὸς πρῶτος ἔθυσεν, ὥς φησιν Ἡσίοδος. διὰ δὲ τοῦ Ὀρχομενοῦ ὁ Κηφισὸς ῥεῖ*

40 (67)

Schol. Townl. Hom. *Η* 9 (V 234, 3 M.) *ὁ γὰρ τοῦ Μενεσθίου πατὴρ Ἀρηΐθοος Βοιωτὸς ἦν κατοικῶν Ἄρνην· ἔστι δὲ αὕτη Βοιωτίας, ὡς καὶ Ἡσίοδός φησιν*

38, 2 cf. Apoll. Rhod. Arg. *Δ* 1541 *ὡς δὲ δράκων σκολιὴν εἱλιγμένος ἔρχεται οἶμον* Dionys. Perieg. 123 *ὡς δὲ δράκων βλοσυρωπὸς ἑλίσσεται, ἀγκύλος ἕρπων* (cf. Arat. 45 sq. *τὰς δὲ δι' ἀμφοτέρας οἵη ποταμοῖο ἀπορρὼξ | εἰλεῖται μέγα θαῦμα Δράκων περί τ' ἀμφί τ' ἐαγὼς | μυρίος* Vergil. Georg. I 244 sq. *maximus hic flexu sinuoso elabitur anguis | circum perque duas in morem fluminis arctos* Senec. Thyest. 870 *qui medias dividit ursas fluminis instar lubricus anguis*)

39 cf. Theocr. XVI 104 *ὦ Ἐτεόκλειοι Χάριτες θεαί, ὦ Μινύειον | Ὀρχομενὸν φιλέοισαι ἀπεχθόμενόν ποτε Θήβαις*

---

38 cum superiore fragmento coniungit Hermann Op. VI 264 1 *ὅς τε — διὰ*] *ὅς τε* anteposui in ed. mea[1] p. 167; *παρὲκ Πανοπῆα διὰ* in Strabone Meineke; *ὃς παρὰ πανοπίδα, παρὲκ? πανοπη διὰ* (vel *πανοπιδιὰ*) codd. Strabonis; *ὃς παρὰ μὲν Πανοπῆα ῥέει* vel *ὃς παρὰ Πανοπίδα προρέει* Voss Randgl. 81, *καὶ παρὰ Πανοπίδα* Hermann l. c., ⟨*προρέει*⟩ Marckscheffel l. c. 299, *ὅς παρὰ γῆν Πανοπηιάδα* Goettling ed.[1] 233, *παρὲκ Πανόπην δῖαν* Madvig Advers. crit. I 555, *ὅς περ Πανοπηΐδα γῆν* Sittl ed. 607 *Γλήχωνα*] *Τρηχῖνα* Sittl l. c. 2 *καί τε*] schol. Arati, *καὶ δὲ* Strabo, *καλὰ* (?) *διερχόμενος* Sittl l. c. *δι' Ἐρχομενοῦ*] Strabo, *διερχομένου* scholior. Arati cod. M (Marcian. 476 s. XI), *διερχόμενος* scholior. cod. A (Paris. 2403 s. XIV) *εἱλιγμένος*] Strabo, *ἠπειγμένος* (-*ως* cod. A) schol. Arati

39 *γὰρ*] *δὲ* cod. Vindob. gr. 130 *υἱὸς*] *παῖς* cod. idem *ὥς φησιν Ἡσίοδος*] post *ῥεῖ* collocabat Hermann Op. VI 264, fr. 39 cum 38 coniungendum esse ratus

Schol. Basil. Germanic. Arat. p. 79, 18 Br.: *hunc putant quidam esse, qui Phrixum et Hellen Colchos portavit [pertulit]. Nebula eum his dedit aureo vellere cata Hesiodum, qui eos perferret. deinde iungit decidisse Hellen, a qua Hellespontum dictum. quam Neptunum compressisse, ex qua filios genuerit. Phrixum autem perlatum Colchos arietem immolasse pellemque eius auream Iovi sacrasse*

cf. schol. Arati p. 221a 13 M.

'Hyginus' Astron. II 20 *Aries: hic existimatur esse, qui Phrixum transtulisse et Hellen dictus est per Hellespontum. quem Hesiodus et Pherecydes ait habuisse auream pellem*

Schol. Sangerm. Germanic. Arat. p. 142, 20 Br. . . . *quem arietem Hesiodus et Pherecides dicunt ad ministrandum Frixo et Helli concessum a nubibus fuisse*

Schol. Strozz. Germanic. Arat. p. 142, 8 Br. *arietem namque, ut Hesiodus et Pherecydes dicunt, inter astra collocatum propter Phrixum et Hellen, Athamantis et Nebulae filios*

52 (78)

Schol. Laur. Apoll. Rhod. Arg. *B* 181 (p. 399, 21 K.) *πεπηρῶσθαι δὲ Φινέα φησὶν Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις, ὅτι Φρίξῳ τὴν ὁδὸν ἐμήνυσεν, ἐν δὲ τῷ γ̄ Καταλόγῳ, ἐπειδὴ τὸν μακρὸν χρόνον τῆς ὄψεως προέκρινεν*

cf. Et. gen. v. *ὀπίζεσθαι· . . . ⟨Ἡσίοδος⟩ καὶ Ἀπολλώνιος· δύο Φινεῖς ἐγένοντο . . . . πηρωθῆναι δὲ αὐτόν (τὸν πρότερον Φινέα), ἐπειδὴ τῶν θεῶν αὐτῷ προτεινάντων, πότερον βούλοιτο τὴν μαντικὴν ἔχειν καὶ πεπηρῶσθαι ἢ ὀλιγοχρόνιον εἶναι καὶ ὑγιῆ ὑπάρχειν χωρὶς τῆς μαντείας, ὁ εἵλετο τὴν μαντείαν. τούτου εἵνεκεν ἀγανακτήσας, ὁ Ἀπόλλων ἐπήρωσεν αὐτόν*

53 (79)

Schol. Paris. Apoll. Rhod. Arg. *B* 181 (II 136 Br.) *παῖδας δὲ φησιν αὐτῷ (τῷ Φινεῖ) γενέσθαι Ἡσίοδος δύο, Θυνὸν καὶ Μαριανδυνόν* cf. schol. Laur. l. c. et *B* 140

cf. Et. gen. v. *ὀπίζεσθαι· . . . ⟨Ἡσίοδος⟩ καὶ Ἀπολλώνιος· δύο Φινεῖς ἐγένοντο· τοῦ προτέρου οὖν Φινέως γεγόνασιν υἱοὶ δύο Βιθυνὸς καὶ Μαριανδυνός, ἀφ' ὧν τὰ ἔθνη ὠνομάσθησαν*

---

52 *γ̄ Καταλόγῳ*] cod. Laurent., *γ̄ καταλόγων* Keil in schol. Apoll. 399
53 suspicionem movet Sittlio Wien. St. XII 56 ⟨*Ἡσίοδος*⟩ in Et. gen. intercidisse arbitratur Reitzenstein Ind. lect. Rostoch. hib. 1891/2 p. 15

54 (231)

Γλακτοφάγων ἐς γαῖαν ἀπήνας οἰκί' ἐχόντων

Strabo VII p. 302 Ephorum de Scythis narrasse testatur *εἶναι γάρ τινας τῶν νομάδων Σκυθῶν γάλακτι τρεφομένους ἵππων τῇ τε δικαιοσύνῃ πάντων διαφέρειν· μεμνῆσθαι δ' αὐτῶν τοὺς ποιητάς . . . Ἡσίοδον δ' ἐν τῇ καλουμένῃ γῆς περιόδῳ τὸν Φινέα ὑπὸ τῶν Ἁρπυιῶν ἄγεσθαι 'Γλακτοφάγων — ἐχόντων'*

55 (232)

Αἰθίοπάς τε Λίγυς τε ἰδὲ Σκύθας ἱππημολγούς

Strabo VII p. 300 *πῶς οὖν ἠγνόει τοὺς Σκύθας ὁ ποιητής, ἱππημολγοὺς καὶ γαλακτοφάγους τινὰς προσαγορεύων; ὅτι γὰρ οἱ τότε τούτους ἱππημολγοὺς ἐκάλουν, καὶ Ἡσίοδος μάρτυς ἐν τοῖς ὑπ' Ἐρατοσθένους παρατεθεῖσιν ἔπεσιν· 'Αἰθίοπας — ἱππημολγούς'*

Herodianus *περὶ διχρόν.* Π 16, 30 L. *τὸ ἐκτεινόμενον ᾱ ἐπὶ πληθυντικῶν αἰτιατικῶν οἱ Δωριεῖς συστέλλουσι· ναύτας· 'Σκύθας'*

56 (80)

Apollodorus I 9, 21, 6 (p. 41, 17 W.) *διωκομένων δὲ τῶν Ἁρπυιῶν ἡ μὲν κατὰ Πελοπόννησον εἰς τὸν Τίγρην ποταμὸν ἐμπίπτει, ὃς νῦν ἀπ' ἐκείνης Ἅρπυς καλεῖται· ταύτην δὲ οἱ μὲν Νικοθόην, οἱ δὲ Ἀελλόπουν καλοῦσιν. ἡ δὲ ἑτέρα καλουμένη Ὠκυπέτη, ὡς δὲ ἔνιοι Ὠκυθόη (Ἡσίοδος δὲ λέγει αὐτὴν Ὠκυπόδην), αὕτη κατὰ τὴν Προποντίδα φεύγουσα μέχρι Ἐχινάδων ἦλθε νήσων, αἳ νῦν ἀπ' ἐκείνης Στροφάδες καλοῦνται*

57 (81)

Ἔνθ' οἵ γ' εὐχέσθην Αἰνηίῳ ὑψιμέδοντι

Schol. Laur. Apoll. Rhod. Arg. *Β* 297 (p. 405, 28 K.) *ὅτι δὲ ηὔξαντο οἱ περὶ Ζήτην τῷ Διὶ στραφέντες λέγει καὶ Ἡσίοδος 'ἔνθ' —*

---

54 et **55** cf. Hom. *Ν* 6 sq. *ἀγαυῶν Ἱππημολγῶν | γλακτοφάγων*

---

54 *ἐς γαῖαν*] Lehrs Quaest. ep. 261, *εἰς αἶαν* Strabo *ἀπήνας*] Porson Advers. 316, *ἀπήναις* Strabonis codd. *ἐν — περιόδῳ*] *ἐν καταλόγων τρίτῳ* Kirchhoff Phil. XV 10 (d. hom. Odyss. 325), cf. quae contra dixit Niese d. Entwickl. d. hom. Poes. 222 adn. 3

55 in Catalogo collocavit Marckscheffel l. c. 303 sq. *τε Λίγυς τε ἰδὲ*] *τε λιγυστὶ δὲ* Strabonis codd., *Λίγυάς τε ἰδὲ* Naeke ed. Choeril. 124, *Λίγυάς τ' ἠδὲ* Heinsius ed. (1603) 313, *τε Λίγυς τ' ἠδὲ* Bernhardy Eratosth. 42, *Λίβυάς τ' ἠδὲ* Clericus ed. 334 (336 adn.), *Λίβυς τ' ἠδὲ* Osann ZfdAw. 1841 c. 644 adn.

56 ad Theog. 267 pertinere suspicatur Sittl Wien. St. XII 42 *Ὠκυθόη*] *Ὠκυρόη* e pap. B Theogoniae (cf. ad v. 267) in Apollodoro restituendum esse putat Kenyon Rev. de phil. XVI 183

57 *Αἰνηίῳ*] *Αἰνησίῳ* coll. Strab. X p. 456 Heringa Observ. misc. IX 968

ὑψιμέδοντι’· ἔστι γὰρ Αἶνος ὄρος τῆς Κεφαλληνίας, ὅπου Αἰνησίου Διὸς ἱερόν ἐστιν

58 (82)

Schol. Laur. Apoll. Rhod. Arg. *B* 297 (p. 406, 1 K.) *Ἀπολλώνιος μὲν οὖν τὴν ἀποστρέψασαν τοὺς περὶ Ζήτην Ἶριν λέγει, Ἡσίοδος δὲ Ἑρμῆν*

59 (83)

Schol. Laur. Apoll. Rhod. Arg. *B* 296 (p. 405, 22 K.) *οἱ δὲ Στροφάδας φασὶν αὐτὰς κεκλῆσθαι, καθὸ ἐπιστραφέντες αὐτόθι ηὔξαντο τῷ Διὶ καταλαβεῖν τὰς Ἁρπυίας. κατὰ δὲ Ἡσίοδον καὶ Ἀντίμαχον καὶ Ἀπολλώνιον οὐ κτείνονται*

60 (84)

Philodemus *περὶ εὐσεβ.* 10 (tab. 38, 23) G. *οὐ⟩δ’ Ἡσιόδῳ μή τ⟨ις ἐ⟩ν⟨γ⟩ελᾷ, ὃς γ⟨. . . . .⟩αι ο⟨. .⟩ν ἢ ⟨καὶ τ⟩ῶν Κατουδα⟨ίων κ⟩αὶ τῶν Πυ⟨γμ⟩αί⟨ων μνημονεύει*

Harpocration (I 296, 7 D.) Suidas (II 2 p. 1358 B.) Photius (Lex. 541 P.) v. *ὑπὸ γῆν οἰκοῦντες· λέγοι ἂν τοὺς ὑπὸ Σκύλακος ἐν τῷ Περίπλῳ λεγομένους Τρωγλοδύτας καὶ τοὺς ὑπὸ Ἡσιόδου ἐν γ̄ Καταλόγου Κατουδαίους ὀνομαζομένους*

61 (85)

Schol. Medic. Aeschyl. Prom. 830 *πρῶτος Ἡσίοδος ἐτερατεύσατο τοὺς γρῦπας*

62 (86)

Strabo I p. 43 *Ἡσιόδου δ’ οὐκ ἄν τις αἰτιάσαιτο ἄγνοιαν Ἡμίκυνας λέγοντος καὶ Μακροκεφάλους καὶ Πυγμαίους*

idem VII p. 299 *καὶ γὰρ τοὺς ἔτι νεωτέρους ἐκείνου* (*Ὁμήρου*) *πολλὰ ἀγνοεῖν καὶ τερατολογεῖν, Ἡσίοδον μὲν Ἡμίκυνας λέγοντα καὶ Μεγαλοκεφάλους καὶ Πυγμαίους . .*

Harpocration v. *Μακροκέφαλοι* (I 197, 10 D.)· *ἔθνος ἐστὶν οὕτω καλούμενον, οὗ καὶ Ἡσίοδος μέμνηται ἐν γ̄ γυναικῶν Καταλόγῳ. Παλαίφατος δ’ ἐν ζ̄ Τρωικῶν ἐν τῇ Λιβύῃ φησὶν ὑπεράνω Κόλχων οἰκεῖν τοὺς Μακροκεφάλους*

---

60 *Ἡσιόδῳ*] Bergk JbfPh. 1873 p. 40, ΗCΙΟΔΗ papyrus *ἐ⟩ν⟨γ⟩ελᾷ*] Bergk l. c., ·ΝΜΕΛΑΙ pap. *γ⟨· · · ·⟩αι ο⟨· ·⟩ν*] Γ· · · ·ΑΙΘ· · · Ι pap.; *γ⟨ρυπῶν κ⟩αὶ ὄνων* dubitans Bergk l. c. *Πυ⟨γμ⟩αί⟨ων* Gomperz l. c., ΠΥ· ·ΑΙ· · pap. *⟨μνημονεύει* suspicatus est Bergk l. c.

61 *Ἡσίοδος*] *Ἡρόδοτος* Reiz teste Hauptio Op. III 310; oblocutus est Bergk JbfPh. 1873 p. 38

62 *Μεγαλοκεφάλους*] an hic quoque *Μακροκεφάλους* scribendum?

Stephanus Byz. v. *Ἡμίκυνες· ἔθνος οὐ πόρρω Μασσαγετῶν καὶ Ὑπερβορέων . . . καὶ Ἡσίοδος*

63 (87)

Schol. Laur. Apoll. Rhod. Arg. *Δ* 284 (p. 498, 26 K.) *Ἡσίοδος δὲ διὰ Φάσιδος αὐτοὺς (τοὺς Ἀργοναύτας) εἰσπεπλευκέναι (εἰς τὴν θάλασσαν) λέγει. Ἑκαταῖος δὲ ἐλέγχων αὐτὸν ἱστορεῖ μὴ ἐκδιδόναι εἰς τὴν θάλασσαν τὸν Φᾶσιν, οὐδὲ διὰ Tανάιδος ἐκπλεῦσαι, ἀλλὰ κατὰ τὸν αὐτὸν πλοῦν καθ' ὃν καὶ πρότερον*

64 (88)

Schol. Laur. Apoll. Rhod. Arg. *Δ* 259 (p. 493, 32 K.) *Ἡσίοδος δὲ καὶ Πίνδαρος ἐν Πυθιονίκαις καὶ Ἀντίμαχος ἐν Λύδῃ διὰ τοῦ Ὠκεανοῦ φασιν ἐλθεῖν αὐτοὺς (τοὺς Ἀργοναύτας) εἰς Λιβύην καὶ βαστάσαντας τὴν Ἀργὼ εἰς τὸ ἡμέτερον πέλαγος γενέσθαι*

65 (89)

Strabo I p. 23 *Ἐρατοσθένης δὲ Ἡσίοδον μὲν εἰκάζει πεπυσμένον περὶ τῆς Ὀδυσσέως πλάνης ὅτι κατὰ Σικελίαν καὶ Ἰταλίαν γεγένηται, πιστεύσαντα τῇ δόξῃ μὴ μόνον τῶν ὑφ' Ὁμήρου λεγομένων μεμνῆσθαι, ἀλλὰ καὶ Αἴτνης καὶ Ὀρτυγίας τοῦ πρὸς Συρακούσαις νησίου καὶ Τυρρηνῶν, Ὅμηρον δὲ μήτε εἰδέναι ταῦτα μήτε βούλεσθαι ἐν γνωρίμοις τόποις ποιεῖν πλάνην*

66 (90)

Schol. Laur. Apoll. Rhod. Arg. *Γ* 311 (p. 460, 18 K.) *ἠκολούθησεν Ἀπολλώνιος τοῖς κατὰ τὸ Τυρσηνικὸν πέλαγος ὑποτιθεμένοις τὴν Ὀδυσσέως πλάνην, ὧν ἀρχηγὸς Ἡσίοδος κατῳκηκέναι λέγων Κίρκην ἐν τῷ προειρημένῳ πελάγει*

67 (91)

Schol. Laur. Apoll. Rhod. Arg. *Γ* 311 (p. 460, 24 K.) *φησὶ δὲ Ἀπολλώνιος Ἡσιόδῳ ἑπόμενος ἐπὶ τοῦ ἅρματος τοῦ Ἡλίου εἰς τὴν κατὰ Τυρρηνίαν κειμένην νῆσον τὴν Κίρκην ἐλθεῖν· ἑσπερίαν δὲ αὐτὴν εἶπεν, ἐπεὶ πρὸς δυσμὰς κεῖται*

---

63 *Ἡσίοδος*] *Ἑκαταῖος* (coll. schol. Laur. Apoll. Rhod. Arg. *Δ* 259 = Fragm. 64) Bergk Gr. Litg. I 1006 adn. 93 *Ἑκαταῖος*] *Ἀρτεμίδωρος* Bergk l. c. *ἐκπλεῦσαι*] Keil in schol., *ἔπλευσαν* cod.
67 Hesiodi nomen errore commemorari arbitratur Seeliger in Roscheri Myth. Lex. II 1 c. 1200

68 (92)

Νῆσον ἐς Ἀνθεμόεσσαν, ἵνα σφίσι δῶκε Κρονίων

Schol. Laur. Apoll. Rhod. Arg. *Δ* 892 (p. 510, 8 K.) *καλὴν Ἀνθεμόεσσαν] ἠκολούθησεν Ἡσιόδῳ οὕτως ὀνομάζοντι τὴν νῆσον τῶν Σειρήνων 'νῆσον — Κρονίων'. ὀνόματα δὲ αὐτῶν Θελξιόπη ἢ Θελξινόη, Μολπή, Ἀγλαόφωνος*

69 (93)

Schol. Hom. *μ* 168 (II 543, 16 D.) *ἐντεῦθεν Ἡσίοδος καὶ τοὺς ἀνέμους θέλγειν αὐτὰς (τὰς Σειρῆνας) ἔφη*

cf. Schol. Hom. *μ* 169 (II 543, 20 D.) *τινὲς δέ, ὅτι καὶ τοὺς ἀνέμους ἵστασαν (αἱ Σειρῆνες) γοητεύουσαι τῇ φωνῇ*

Eustathius Hom. 1710, 39 *ἐνταῦθα δέ φασιν οἱ παλαιοί, ὡς ἐντεῦθεν λαβὼν Ἡσίοδος ἐμυθεύσατο ὑπὸ Σειρήνων καὶ τοὺς ἀνέμους θέλγεσθαι*

70 (94)

Πόν⟩τον δ' Ὠγύλιον ἠδ' Ὠγυλίην . . . . νῆσον

Schol. Hom. *α* 85 (I 24, 25 D.) *Ὠγυγίην] ἐν τῇ κατὰ Ἀντίμαχον Ὠγυλίην γράφεται· διαφέρουσι δὲ οἱ τόποι. τὴν μὲν γὰρ Ὠγυγίαν ἐντὸς εἶναι πρὸς ἑσπέραν, τὴν δὲ Ὠγυλίαν κατὰ Κρήτην Ἡσίοδός φησι κεῖσθαι· '⟨πόν⟩τον — νῆσον'. ταύτην δὲ οὐ Καλυψοῦς καλοῦσιν*

71 (95)

Schol. Hom. *η* 54 (I 325, 24 D.) *Ἡσίοδος δὲ ἀδελφὴν Ἀλκινόου τὴν Ἀρήτην ὑπέλαβεν*

cf. Eustathius Hom. 1567, 64 *τὸ δὲ ἐκ τοκήων τῶν αὐτῶν, οἳ τέκον Ἀλκίνοον, ἔπεισέ φασι τὸν Ἡσίοδον ἀδελφὴν Ἀλκινόου τὴν Ἀρήτην ὑπολαβεῖν*

72 (96)

Stephanus Byz. v. *Ὑπερησία· πόλις τῆς Ἀχαΐας . . . . τὸ ἐθνικὸν τῆς Ὑπερησίας Ὑπερησιεύς, καὶ θηλυκὸν Ὑπερησὶς παρ' Ἡσιόδῳ*

---

68 Apoll. Rhod. Arg. *Δ* 891 sq. *νῆσον* | *καλὴν Ἀνθεμόεσσαν*

---

70 cf. quae exposuit Ludwich JbfPh. 1888 p. 241 sqq. *πόν⟩τον*] Ludwich l. c. 244, *τὸν* codd. *Ὠγυλίην*] Ludwich l. c., *ὠγύλη* codd.; post spatium in H; *⟨λάχε⟩* supplet Ludwich l. c. *κατὰ*] *κατὰ τὸν* M^{1}P *Ὠγυλίην*] *ὠγυγίη* M^{1}P *γράφεται*] *γράφει* H^{1}Q *διαφέρουσι δὲ*] *διαφέρει* P *Ὠγυγίαν*] *ὠγυγίην* H^{1}M^{1}Q *Ὠγυλίαν*] *ὠγελίαν* P *Κρήτην*] reliqua addit H, om. Q *κεῖσθαι*] reliqua om. M^1; M^a addit *'λέγεται* (in ras.) *δὲ ὀνομαστικῶς ἡ καλυψοῦς νῆσος* *ταύτην δὲ*] *δὲ ταύτην* P *οὐ Καλυψοῦς*] Ludwich l. c. 243, *οἱ καλοὺς* P, *οἳ καυλοὺς* H

71 ad Eoeas rettulit Bergk Gr. Litg. I 673 adn. 46

73 (97)

Τὴν δ' Ἀμαρυγκεΐδης Ἱππόστρατος, ὄζος Ἄρηος,

* * *

Φυκτέος ἀγλαὸς υἱός, Ἐπειῶν ὄρχαμος ἀνδρῶν

Schol. Pind. Ol. XI (X) 46 (II 1, 246 B.) *τὴν πόλιν δὲ καλεῖσθαί φασι Φύκτεον ἀπό τινος Φυκτέως, οὗ μέμνηται καὶ Ἡσίοδος οὕτω· 'τὴν — ἀνδρῶν'*

Apollodorus I 8, 4, 1 (p. 26, 20 W.) *Ἀλθαίας δὲ ἀποθανούσης ἔγημεν Οἰνεὺς Περίβοιαν τὴν Ἱππονόου· ταύτην δὲ ὁ μὲν γράψας τὴν Θηβαΐδα πολεμηθείσης Ὠλένου λέγει λαβεῖν Οἰνέα γέρας, Ἡσίοδος δὲ ἐξ Ὠλένου τῆς Ἀχαΐας, ἐφθαρμένην ὑπὸ Ἱπποστράτου τοῦ Ἀμαρυγκέως, Ἱππόνουν τὸν πατέρα πέμψαι πρὸς Οἰνέα πόρρω τῆς Ἑλλάδος ὄντα, ἐντειλάμενον ἀποκτεῖναι*

74 (98)

Οἴκεε δ' Ὠλενίην πέτρην ποταμοῖο παρ' ὄχθας
Πείρου ἐυρρεέος

1 sq. Strabo VIII p. 342 *ὁ δὲ Τευθέας εἰς τὸν Ἀχελῷον ἐμβάλλει τὸν κατὰ Δύμην ῥέοντα, ὁμώνυμον τῷ κατὰ Ἀκαρνανίαν, καλούμενον καὶ Πεῖρον. τοῦ δ' Ἡσιόδου εἰπόντος 'ᾤκεε — Πείροιο' μεταγράφουσί τινες 'Πώροιο' οὐκ εὖ*

1 Stephanus Byz. v. *Ὤλενος . . . . τὸ θηλυκὸν Ὠλενία· Ἡσίοδος 'ᾤκεε — ποταμοῖο ⟨παρ' ὄχθας⟩'*

unde hausit Eustathius 882, 66 *προσεχῆ δὲ τῷ Βουπρασίῳ καὶ τὰ ἐφεξῆς χωρία, ὧν πέτρα μὲν Ὠλενία, ἧς φασι μεμνῆσθαι καὶ Ἡσίοδον ἐν τῷ 'ᾤκεε δ' Ὠλενίην πέτρην', δοκεῖ ἀπὸ Ὠλένου καλεῖσθαι, πόλεως Ἀχαΐας*

75 (99)

Diodorus V 81 *μετὰ δὲ ταῦτα (τὸν κατὰ Δευκαλίωνα κατακλυσμὸν) Μακαρεὺς εἰς αὐτὴν (τὴν Λέσβον) ἀφικόμενος καὶ τὸ κάλλος τῆς χώρας κατανοήσας κατῴκησεν αὐτήν. ἦν δ' ὁ Μακαρεὺς υἱὸς μὲν Κρινάκου*

73, 1 *Β* 540 *ὄζος Ἄρηος** 2 *Β* 838 *ὄρχαμος ἀνδρῶν**
74, 1 *Δ* 487 *ποταμοῖο παρ' ὄχθας**

73, 1 post hunc excidisse versum vidit Heyne ad Apollod. bibl. observ. (1803) 52 2 *Φυκτέος*] Heinsius ed. (1603) 315, *φυκτέως* Vat. B, *φυκτεύς* Par. 2774 Vindob. 130, *Φυκτέως τ'* (scil. *ἥρπαξαν* vel *ἔφθειραν*) Goettling ed.[2] 280, *Φυτέος* Sittl ed. 581

74 de Periboea agi opinatur Ruhnken Op. II 587 1 *οἴκεε — πέτρην*] suspectum Nauckio MGrR. V 99 *οἴκεε*] restituendum esse videtur, *ᾤκεε* testes, *Ϝοίκεε* Flach d. hes. Ged. XV, quod displicet Devantiero d. Spur. d. anl. Dig. bei Hesiod III 27 *ὄχθας*] *ὄχθαις* Heyne ad Hom. *Β* 617 2 *Πείρου ἐυρρεέος*] Nauck l. c. IV 386, *εὐρῆος Πείροιο* Strabo, *Πώροιο* quidam teste eodem (cuius loco *Πιέροιο* ex Pausania VII 22, 1 scribendum esse censuit Meineke), *εὐρεέος Πείροιο* conieci Wien. St. V 201

τοῦ Διός, ὥς φησιν Ἡσίοδος καὶ ἄλλοι τινὲς τῶν ποιητῶν, κατοικῶν δ' ἐν Ὠλένῳ τῆς τότε μὲν Ἰάδος, νῦν δ' Ἀχαΐας καλουμένης

cf. Schol. Townl. Hom. Ω 544 (VI 476, 3 M.)

76 (100)

Ἡ δ' ὑποκυσαμένη τέκεν Αἰακὸν ἱππιοχάρμην.
αὐτὰρ ἐπεί ῥ' ἥβης πολυηράτου ἵκετο μέτρον,
μοῦνος ἐὼν ἤσχαλλε· πατὴρ δ' ἀνδρῶν τε θεῶν τε,
ὅσσοι ἔσαν μύρμηκες ἐπηράτου ἔνδοθι νήσου,
τοὺς ἄνδρας ποίησε βαθυζώνους τε γυναῖκας.
οἳ δή τοι πρῶτοι ζεῦξαν νέας ἀμφιελίσσας,
πρῶτοι δ' ἱστί' ἔθεν νηὸς πτερὰ ποντοπόροιο

1—6 Schol. Pind. Nem. III 21 (p. 79, 9 A.) περὶ τῶν Μυρμιδόνων Ἡσίοδος μὲν οὕτω φησίν· 'ἡ δ' — ἀμφιελίσσας'

Tzetzes in Lycophr. 176 (I 448 M.) λέγουσιν, ὅτι Αἰακὸς ἐξ Αἰγίνης καὶ Διὸς γεννηθεὶς ἐν τῇ ἀπ' αὐτῆς Αἰγίνῃ νήσῳ κατελείφθη μόνος, ᾐτήσατο δὲ τῷ Διί, καὶ ὃς τοὺς μύρμηκας ἀνθρώπους ἐποίησε, καθὰ καὶ Ἡσίοδος ἐν τῇ ἡρωικῇ γενεαλογίᾳ φησίν· 'ἡ δ' — ἀμφιελίσσας'

6. 7 Schol. Pind. Ol. VIII 26 (II 1, 191 B.) Ἡσίοδος· 'οἳ — ποντοπόροιο'

77 (101)

Αἰακίδας (?) πολέμῳ κεχαρηότας (?) ἠύτε δαιτί

Polybius V 2 λειτουργοί γε μὴν περὶ τὰς ταφρείας καὶ χαρακοποιίας καὶ πᾶσαν τὴν τοιαύτην ταλαιπωρίαν φιλοπονώτατοί τινες, οἵους Ησίοδος παρεισάγει τοὺς 'Αἰακίδας, πολέμῳ κεχαρηότας ἠύτε δαιτί'

unde sua Suidas v. δαῖτας (I 1, 1189, 10 B.)

Maximus Tyrius XXXV 2 Ὁμήρου δὲ οὐκ ἀκούεις ἐγκωμιάζοντος τοὺς Αἰακίδας, ὅτι ἦσαν ἄνδρες πολέμῳ κεχαρηότες ἠύτε δαιτί;

76, 1 cf. λ 254 ἡ δ' ὑποκυσαμένη Πελίην τέκε 2 Α 225 αὐτὰρ ἐπεί ῥ' ἥβης ἐρικυδέος ἵκετο μέτρον ο 366 αὐτὰρ ἐπεί ῥ' ἥβην πολυήρατον ἱκόμεθ' ἄμφω 3 υ 30 μοῦνος ἐών* Α 544 πατὴρ ἀνδρῶν τε θεῶν τε* 5 Ι 594 βαθυζώνους τε γυναῖκας* 6 γ 162 νέας ἀμφιελίσσας* 7 cf. λ 125 ἐρετμά, τά τε πτερὰ νηυσὶ πέλονται

76, 4 ἔνδοθι] ἔνδοθεν cod. Laur. D scholiorum Pind. Nem., ἔνδοθε codd. aliquot Tzetzae 6 δή τοι] δ' ἤτοι Vatic. B scholior. Pind., δή τι Laur. D scholior. Pind. πρῶτοι] pars codd. Tzetzae. cf. v. 7; πρῶτον scholia Pind. utroque loco et Tzetzae codd. cett. ζεῦξαν] τεῦξαν schol. Pind. Ol. 7 ἱστί' ἔθεν νηὸς] Boeckh dubitans l. c. II 1, 191, cf. Schneidewin Exerc. crit. p. 27 adn. et quae dixi Wien. St. V 201 sq.; ἱστία θέσσαν νεὼς (θέσσαν ἐπὶ πτερὰ cod. Gotting.) schol. Pind.; ἱστία θέντο νεὼς Heinsius ed. (1603) 316; ἐστόλισαν νηὸς (ex Op. 628) Goettling ed.² 273

77 cf. Nauck MGrR. IV 389; Polybium ad Scut. 114, Maximum ad laudes Aeacidis ab Homero tributas spectare contendit Sittl Wien. St. XII 50 sq.

78 (37)

Porphyrius Quaest. Hom. ad Iliad. pertin. p. 93, 17 Schr. (= Schol. Ven. B Hom. Z 164 III p. 289, 9 D.) *συντόμως δὲ τὰ αἰσχρὰ δεδήλωκε 'μιγῆναι οὐκ ἐθελούσῃ', ἀλλ' οὐχ ὥσπερ Ἡσίοδος τὰ περὶ τοῦ Πηλέως καὶ τῆς Ἀκάστου γυναικὸς διὰ μακρῶν ἐπεξελθών*

cf. Schol. Laur. Apoll. Rhod. Arg. *Α* 224 (p. 317, 27 K.) *Ἄκαστος Πελίου υἱὸς ἔγημεν Κρηθηΐδα ἢ ὥς τινες Ἱππολύτην. ἡ δὲ Πηλέως ἐρασθεῖσα ἀπῄτει συνελθεῖν. ὡς δὲ ἀπετύγχανεν, προλαβοῦσα τὸν Πηλέα τῷ ἀνδρὶ κατηγόρει, ὅτι ἤθελεν αὐτῇ συνελθεῖν. ὁ δὲ δεξάμενος τὸν Πηλέα ὡς ἐπὶ θήραν εἰς τὸ Πήλιον κατέλειψεν, ἵνα ὑπὸ θηρίων διαφθαρῇ. ἐπιστὰς δὲ ὁ Ἑρμῆς ἢ ὥς τινες Χίρων ἔδωκεν αὐτῷ ἡφαιστότευκτον μάχαιραν. καὶ τὰ ἐπιτυγχάνοντα θηρία ἀναιρῶν ἦλθεν εἰς τὴν πόλιν καὶ ἀνεῖλεν Ἄκαστον καὶ τὴν αὐτοῦ [τοῦ Ἀκάστου] γυναῖκα*

v. Schol. Pind. Nem. IV 92 (p. 136, 7 A.), de Peleo etiam Gellius Noct. Att. III 11, 5 (v. ad Theog. 1006)

79 (38)

Ἧδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,
αὐτὸν μὲν σχέσθαι, κρύψαι δ' ἀδόκητα μάχαιραν
καλήν, ἥν οἱ ἔτευξε περικλυτὸς Ἀμφιγυήεις,
ὡς τὴν μαστεύων οἶος κατὰ Πήλιον αἰπὺ
αἶψ' ὑπὸ Κενταύροισιν ὀρεσκῴοισι δαμείη

Schol. Pind. Nem. IV 95 (p. 139, 5 A.) enarrata Daedali et Acasti historia *ταῦτα δὲ ἱστοροῦσι πολλοὶ μέν, ἀτὰρ δὴ καὶ Ἡσίοδος λέγων οὕτως· 'ἧδε — δαμείη'*

80

Volum. Herculan. coll. alt. VIII 105 . . . . *δὲ κ⟨αὶ συνοικίσ⟩αι τῶι Π⟨ηλεῖ. ἐν Π⟩ρομηθε⟨ῖ δὲ τῶι⟩ λυομέ⟨ν⟩ωι . . ⟨Θέτ⟩ιδος ε . . . . ρα-*

79, 1 = *B* 5 3 cf. *Σ* 383 (*Χάρις*) *καλή, τὴν ὤπυιε περικλυτὸς Ἀμφιγυήεις* 5 cf. *Α* 268 *Φηρσὶν ὀρεσκῴοισι*

---

79 cf. Pind. Nem. IV 57 B.-Schr.[5] *δάμαρτος Ἱππολύτας Ἄκαστος δολίαις | τέχναισι χρησάμενος τᾷ †Δαιδάλου τε μαχαίρᾳ φύτευέ οἱ θάνατον | ἐκ λόχου, Πελίαο παῖς*

---

78 *αἰσχρὰ*] Reitzenstein Herm. XXXV 81, *ἀρχαῖα* cod. *Ἀκάστου*] G. Dindorf in ed. schol. 289, *ἀκάτου* cod. *διὰ μακρῶν*] Bergk Gr. Litg. I 1005 adn. 89, *διὰ μικρῶν* cod. [*τοῦ Ἀκάστου*] uncis inclusi in ed.[1] p. 159, *αὐτὴν τὴν τοῦ Ἀκάστου* Klouček ibidem
79, 2 *αὐτὸν*] *αὐτοῦ* Heyne Observ. ad Apollod. bibl. (1803) 312 *σχέσθαι*] *εὔχεσθαι* codd. BV, *αἴχεσθαι* D *ἀδόκητα*] *ἀδοκητὶ* Er. Schmid
80 v. Reitzenstein Ind. lect. acad. Rostoch. hib. 1891/2, 15 et Herm. XXXV 73 sq.

σιν .... ⟨ὁ δὲ τ⟩ὰ Κύπ⟨ρια ποιήσας Ἥ⟩ραι χαρ⟨ιζομένη⟩ν φεύγειν αὐ⟨τοῦ τὸ⟩ν γάμον, Δ⟨ία δὲ ὀμ⟩όσαι χολω⟨θέντ⟩α διότι θνη⟨τῶι συ⟩νοικίσει. κα⟨ὶ παρ' Ἡ⟩σιόδω(ι) δὲ κε⟨ῖται τ⟩ὸ παραπλήσ⟨ιον

81 (102)

Φθίην ἐξίκετο, μητέρα μήλων,
πολλὰ κ⟩τήματ' ἄγων ἐξ εὐρυχόρου Ἰαωλκοῦ
Πηλεὺς⟩ Αἰακίδης, φίλος ἀθανάτοισι θεοῖσιν.
λαοῖσιν⟩ δὲ ⟨ἰδ⟩οῦσιν ἀγαίετο θυμὸς ἅπασιν,
ὥς τε πό⟩λιν ⟨ἀ⟩λάπαξεν ἐύκτιτον ὥς τ' ἐτέλεσσεν
ἱμερόεντα γά⟩μον· καὶ τοῦτ' ἔπος εἶπαν ἅπαντες·
τρὶς μάκαρ Αἰακίδη καὶ τετράκις, ὄλβιε Πηλεῦ,
δωρον Ὀλύμπιος εὐρύοπα Ζεὺς
μ⟩άκαρες θεοὶ ἐξετέλεσσαν,
ὃς *τοῖσδ' ἐν μεγάροις ἱερὸν λέχος εἰσαναβαίνων*

81, 1 *Ι* 479 *Φθίην δ' ἐξικόμην ἐριβώλακα, μητέρα μήλων* 2 *γ* 312 *πολλὰ κτήματ' ἄγων** *λ* 256 *ἐν εὐρυχόρῳ Ἰαωλκῷ** 3 *κ* 2 *Αἰόλος Ἱπποτάδης, φίλος ἀθανάτοισι θεοῖσιν* 5 *Β* 367 *πόλιν οὐκ ἀλαπάξεις* 5 sq. *δ* 7 *τοῖσιν δὲ θεοὶ γάμον ἐξετέλειον* 6 cf. *π* 69 *τοῦτο ἔπος (θυμαλγὲς) ἔειπες* 7 cf. *ε* 306 *τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις** 8 *δ* 173 *Ὀλύμπιος εὐρύοπα Ζεύς** 9 cf. ad 5 sq. 10 *Θ* 291 *δμὸν λέχος εἰσαναβαίνοι**

81, 7 Orac. Sib. VIII 164 *τρὶς μακαριστὸς ἔην καὶ τετράκις ὄλβιος ἀνήρ* 7. 9 cf. Sappho Fr. 99 B.[4] *ὄλβιε γάμβρε, σοὶ μὲν δὴ γάμος, ὡς ἄραο ἐκτετέλεστ'* ...

θνη⟨τῶι συ⟩νοικίσει Reitzenstein Herm. l. c., ΘΝΗ·····ΝΟΙΚΗϹΕΙ papyrus

81, 1 ⟨*δὲ*⟩ ante *Φθίην* Wilamowitz Sitzungsb. d. preuss. Akad. 1900 p. 849 *μήλων*] ΜΉΛΩΝ A 2 *πολλὰ⟩*] ex Hom. *γ* 312 Wilamowitz l. c. 849 sq., ⟨*πλεῖστα*⟩ Reitzenstein Herm. XXXV 80 *Ἰαωλκοῦ*] Schwartz l. c. adn. 1, ΪΩΛΚΟΥ A 3 *Πηλεὺς⟩*] Wilamowitz l. c., ⟨*καρτερὸς*⟩ Reitzenstein l. c. 4 *λαοῖσιν⟩*] Wilamowitz l. c. 850 *δὲ ⟨ἰδ⟩οῦσιν*] absolute cf. Hom. *Θ* 76 *Ω* 320 *γ* 372 *η* 306 *ο* 164 *ψ* 47; ΔΕΦ?··ΟΥϹΙΝ A, *δ' ἐφ⟨ιδ⟩οῦσιν* (adspirationem volgarem in A inveniri ratus) Wilamowitz l. c. 850, *δ' ἐσιδοῦσιν* Blass Herm. XXXVI 159, sed cf. Theog. 82 adn.; *ἀστοῖς⟩ δὲ ξ⟨υνι⟩οῦσιν* dubitans Reitzenstein l. c. 5 *ὥς τε πό⟩λιν ⟨ἀ⟩λάπαξεν* Wilamowitz l. c. 850, ···ΛΙΝΛΑΠΑΞΕΝ A, *ὡς ὃ πό⟩λιν ⟨τ' ἀ⟩λάπαξεν* Reitzenstein l. c. *ὥς τ'*] ΏϹΤ A 6 ⟨*ἱμερόεντα γά⟩μον*] restituit Reitzenstein l. c., ······ΜΟΝ A *τοῦτ'*] ΤΟΥ͡Τ A 7 *τρὶς μάκαρ*] Tzetzes, desideratur in A *Αἰακίδη*] Tzetzes, *αια⟩*ΚΙΔΗ A 8 sq. om. Tzetzes; duplicem recensionem subesse suspicatur Wilamowitz l. c. 851 8 ······ΔΩΡΟΝ A, *ᾧ τ' ἄλοχον πολύ⟩δωρον* ex Hom. Z 394 Wilamowitz l. c. 850; an *ἦ μέγα σοι πόρε⟩ δῶρον*? 9 ⟨*δῶκε, γάμον δ' αὐτοὶ*⟩ Wilamowitz l. c. 849, ⟨*ἠδὲ γάμον θαλερὸν*⟩ conicio, ⟨*ὤπασεν ἠδὲ γάμον*⟩ Reitzenstein l. c. 10 ὃς — *μεγάροις*] Tzetzes, interierunt in A ὃς] *ἧς* Kaibel Herm. XXXV 80 adn. 5, qui in v. 7 sq. Thetin commemoratam fuisse censet *ἱερὸν*] Tzetzes, *ιε⟩*ΡΟΝ A *εἰσαναβαίνων*] A, *εἰσαναβαίνεις* Tzetzes

πατ⟩ὴρ ποίησε Κρονίων
περί⟩ τ' ἄλλων ἀλφηστάων
χθονὸ⟩ς ὅ⟨σσοι καρ⟩πὸν ⟨ἔ⟩δουσι⟨ν

1—13 Papyrus graeca 55 bibl. Argentoratensis (= A) saec. ut videtur alterius, ed. Reitzenstein Herm. XXXV 79 sqq., cf. Wilamowitz Sitzungsb. d. preuss. Akad. 1900 p. 849 sq.

7. 10 Tzetzes Prol. ad Lycophr. I 260 sq. M. *ἐπιθαλαμιογράφοι δὲ ποιηταί, ὅσοι πρὸς τοὺς νυμφίους ἐν γάμοις ἐγκώμια ἔγραφον, οἷος ἦν ὁ Ἀγαμήστωρ ὁ Φαρσάλιος καὶ ἕτεροι καὶ Ἡσίοδος αὐτὸς γράψας ἐπιθαλάμιον εἰς Πηλέα καὶ Θέτιν· 'τρὶς — Πηλεῦ', 'ὃς τοῖσδ' — εἰσαναβαίνεις'*

cf. Phavorinus Lex. p. 706, 35 B.

82 (216)

Ξυναὶ γὰρ τότε δαῖτες ἔσαν, ξυνοὶ δὲ θόωκοι
ἀθανάτοισι θεοῖσι καταθνητοῖς τ' ἀνθρώποις

1 sq. Origenes c. Cels. IV 79 (I p. 349, 21 K.) *εἴπερ γὰρ κατὰ πρόνοιαν ὁ κόσμος γεγένηται καὶ θεὸς ἐφέστηκε τοῖς ὅλοις, ἀναγκαῖον ἦν τὰ ζώπυρα τοῦ γένους τῶν ἀνθρώπων ἀρξάμενα ὑπό τινα γεγονέναι φρουρὰν τὴν ἀπὸ κρειττόνων, ὥς τε κατ' ἀρχὰς ἐπιμιξίαν γεγονέναι τῆς*

---

11 κ 21 ποίησε Κρονίων* 12 cf. ζ 8 ἑκὰς ἀνδρῶν ἀλφηστάων* 13 Z 142 (οἳ ἀρούρης) καρπὸν ἔδουσιν

82 cf. η 201 sqq. αἰεὶ γὰρ τὸ πάρος γε θεοὶ φαίνονται ἐναργεῖς | ἡμῖν .... | δαίνυνταί τε παρ' ἄμμι καθήμενοι, ἔνθα περ ἡμεῖς

82, 1 sq. Catull. 64 (Epith. Pel. et Thet.), 384 *praesentes namque ante domos invisere castas | heroum et sese mortali ostendere coetu | caelicolae nondum spreta pietate solebant* cf. Arat. 102—104 ἤρχετο δ' ἀνθρώπων κατεναντίη (Δίκη) οὐδέ ποτ' ἀνδρῶν | οὐδέ ποτ' ἀρχαίων ἠνήνατο φῦλα γυναικῶν, | ἀλλ' ἀναμὶξ ἐκάθητο καὶ ἀθανάτη περ ἐοῦσα 1 colorem imitatur Oppian. Cyn. IV 42 ξυναὶ θηροσύναι δὲ λίνων, ξυναὶ δὲ ποδάγραι 2 Hymn. Hom. Ven. 52 καταθνητοῖς ἀνθρώποις*

---

11 ⟨κραίνεις· κύδιστόν σε⟩ Reitzenstein, ⟨χαῖρ', ὅτι κύδιστόν σε⟩? Kaibel, ⟨τέρπεαι, Νηρεΐδος δὲ⟩ Wilamowitz ll. cc.; fuitne altera recensio εἰσαναβαίνεις recepto ⟨Νηρεΐδος· μάλα δή σε⟩? 12 ⟨πάντων ἡμιθέων⟩ Reitzenstein, ⟨ἔξοχά θ' ἡρώων⟩ Kaibel ll. cc.; an ⟨ἔξοχον ἡρώων⟩? ⟨κουρίδιόν σε πόσιν⟩ Wilamowitz l. c. 849 sq. περί⟩ τ'] ····' Τ A, restituit Reitzenstein l. c. 13 ⟨τιμήεντ' ἀνδρῶν⟩ conicio (praemisso ἔξοχον ἡρώων in v. 12), ⟨ὄλβιον ἀνθρώπων⟩ Wilamowitz l. c. 849 sq. χθονὸ⟩ς ὅ⟨σσοι] Wilamowitz l. c., ····CΌ···· A καρ⟩πὸν ⟨ἔ⟩δουσι⟨ν] Reitzenstein l. c., ···ΠΟΝ·ΔΟΥCΙ· A

82 versus ad Pelei et Thetidos nuptias rettulerunt Bergk Gr. Litg. I 949 n. 20 et Reitzenstein Herm. XXXV 85 adn. 1; ad Opera (post v. 120 collocandos) Spohn ed. 16 (cf. l. c.) 1 θόωκοι] θῶκοι Origenis codd. ACDEH schol. Arati 2 τ' ἀνθρώποις] τε βροτοῖσιν Paulson Stud. Hes. I 70 adn. 1

θείας φύσεως πρὸς τοὺς ἀνθρώπους· ἅπερ καὶ ὁ Ἀσκραῖος ποιητὴς ἐννοῶν εἶπε· 'ξυναὶ — ἀνθρώπους'

1 Schol. Arat. 103 (p. 357, 27 M.) *ἀλλ' ἀναμὶξ ἐκάθητο· τὸ δὲ ἀρχαῖον τὸ χρυσοῦν γένος· παρὰ τὸ Ἡσιόδειον 'ξυναὶ — θόωκοι'*

83 (103)

Schol. Townl. Hom. *Π* 175 (VI 172, 6 M.) de Pelei filia *Ζηνόδοτος δὲ Κλεοδώρην φησίν, Ἡσιόδου καὶ τῶν ἄλλων Πολυδώρην αὐτὴν καλούντων*

84 (104)

Eustathius Hom. 112, 44 sq. *ἰστέον δὲ ὅτι τὸν Πάτροκλον ἡ παλαιὰ ἱστορία καὶ συγγενῆ τῷ Ἀχιλλεῖ παραδίδωσι λέγουσα, ὅτι Ἡσίοδός φησι Μενοίτιον, τὸν Πατρόκλου πατέρα, Πηλέως εἶναι ἀδελφόν, ὡς εἶναι αὐτανεψίους οὕτως ἀμφοτέρους ἀλλήλοις*

85 (105)

Schol. Ven. A Hom. Z 35 (I 228, 1 D.) *Ἀχιλλεὺς ὑπὸ τὸν Τρωικὸν πόλεμον πορθῶν τὰς περιοίκους τῆς Ἰλίου πόλεις ἀφίκετο εἰς τὴν πάλαι μὲν Μονηνίαν, νῦν δὲ Πήδασον καλουμένην, καὶ αὐτὴν σὺν ταῖς ἄλλαις ἑλεῖν. ἀπογνόντος δὲ αὐτοῦ τὴν εἰς τὸ τέλος πολιορκίαν διὰ τὴν ὀχυρότητα τοῦ τόπου καὶ μέλλοντος ἀναχωρεῖν, φασὶν εἴσω τῶν τειχῶν οὖσάν τινα παρθένον ἐρασθῆναι τοῦ Ἀχιλλέως καὶ λαβοῦσαν μῆλον εἰς τοῦτο ἐπιγράψαι καὶ ῥῖψαι εἰς μέσον τῶν Ἀχαιῶν· ἦν δὲ ἐν αὐτῷ γεγραμμένον· 'μὴ σπεῦδ' Ἀχιλλεῦ, πρὶν Μονηνίαν ἑλεῖν· | ὕδωρ γὰρ οὐκ ἔνεστι· διψῶσιν κακῶς'. τὸν δὲ Ἀχιλλέα ἐπιμείναντα οὕτω λαβεῖν τὴν πόλιν τῇ τοῦ ὕδατος σπάνει· ἡ ἱστορία παρὰ Δημητρίῳ καὶ Ἡσιόδῳ*

86 (106)

Ἦ τοι ὅ μὲν Σῆρον καὶ Ἀλάζυγον, υἱέας ἐσθλούς

Schol. Pind. Ol. XI (X) 83 (II 1, 253 B.) *Ἁλιρρόθιος Μαντινεὺς ὁμώνυμος τῷ Ἀθηναίῳ, ὃς ἦν Ποσειδῶνος καὶ Βαθυκλείας· ἔνιοι δὲ γράφουσι Σῆρος Ἁλιρροθίου, οὗ μέμνηται καὶ Ἡσίοδος· 'ἦ τοι — ἐσθλούς'. ἦν δὲ ὁ Σῆρος τοῦ Ἁλιρροθίου τοῦ Περιήρους καὶ Ἀλκυόνης*

---

85 Hesiodi nomen suspectum Sittlio Wien. St. XII 52 *ἀπογνόντος*] *ταπεινοῦντος* cod. Ven. A (ex aliis libris corr.) *καὶ μέλλοντος*] *καὶ* om. cod. Ven. A

86 *Ἀλάζυγον*] Heyne, *ἀλάζονον* cod. Vat. B, *ἀλάζογον* cett., *Ἀλαγονόν* Sittl ed. 565 sq.

87 (107)

Pausanias II 26, 7 (6) *ὁ δὲ τρίτος τῶν λόγων ἥκιστα, ἐμοὶ δοκεῖν, ἀληθής ἐστιν, Ἀρσινόης ποιήσας εἶναι τῆς Λευκίππου παῖδα Ἀσκληπιόν. Ἀπολλοφάνει γὰρ τῷ Ἀρκάδι ἐς Δελφοὺς ἐλθόντι καὶ ἐρομένῳ τὸν θεόν, εἰ γένοιτο ἐξ Ἀρσινόης Ἀσκληπιὸς καὶ Μεσσηνίοις πολίτης εἴη, ἔχρησεν ἡ Πυθία· 'ὦ μέγα χάρμα βροτοῖς βλαστὼν Ἀσκληπιὲ πᾶσιν, | ὃν Φλεγυηὶς ἔτικτεν ἐμοὶ φιλότητι μιγεῖσα | ἱμερόεσσα Κορωνὶς ἐνὶ κραναῇ Ἐπιδαύρῳ'· οὗτος ὁ χρησμὸς δηλοῖ μάλιστα οὐκ ὄντα Ἀσκληπιὸν Ἀρσινόης, ἀλλὰ Ἡσίοδον ἢ τῶν τινὰ ἐμπεποιηκότων ἐς τὰ Ἡσιόδου τὰ ἔπη συνθέντα ἐς τὴν Μεσσηνίων χάριν*

cf. Schol. Pind. Pyth. III 14 (II 1, 328 B.) *οἱ μὲν Ἀρσινόης, οἱ δὲ Κορωνίδος φασὶν αὐτὸν (Ἀσκληπιὸν) εἶναι. Ἀσκληπιάδης δέ φησι τὴν Ἀρσινόην Λευκίππου εἶναι τοῦ Περιήρους, ἧς καὶ Ἀπόλλωνος Ἀσκληπιὸς καὶ θυγάτηρ Ἐριῶπις·*

ἡ δ' ἔτεκ' ἐν μεγάροις Ἀσκληπιόν, ὄρχαμον ἀνδρῶν,
Φοίβῳ ὑποδμηθεῖσα, ἐυπλόκαμόν τ' Ἐριῶπιν.

καὶ †Ἀρσινόης ὁμοίως·

Ἀρσινόη δὲ μιγεῖσα Διὸς καὶ Λητόος υἱῷ
τίκτ' Ἀσκληπιὸν υἱὸν ἀμύμονά τε κρατερόν τε

88 (111)

Schol. Hesiod. Theog. 142 (p. 225 Fl.) *οἳ δή τοι τὰ μὲν ἄλλα θεοῖς ἐναλίγκιοι ἦσαν*] *Κράτης ἀντὶ τούτου ἄλλον στίχον παρατίθεται 'οἳ δ' ἐξ ἀθανάτων θνητοὶ τράφεν αὐδήεντες'· πῶς γὰρ τοὺς αὐτοὺς (τοὺς Κύκλωπας) θεοῖς ἐναλιγκίους λέγει καὶ ἐν τῷ τῶν Λευκιππίδων καταλόγῳ ὑπὸ Ἀπόλλωνος ἀνῃρῆσθαι ποιεῖ;*

---

87 *Ἐριῶπις*] *εὐρῶπις* schol. Pind. cod. Vat. B; ante versus sequentes ⟨*καὶ Ἡσίοδος*⟩ suspicatur Boeckh in ed. schol. II 1, 328; haec fere excidisse putat Marckscheffel l. c. 125: ⟨*καὶ περὶ μὲν οὖν τῆς Κορωνίδος ὁ Ἡσίοδος οὕτω φησί·*⟩ *Ἐριῶπιν*] *εὐρυῶπιν* codd. Paris. 2403, 2774, *εὐρῶπιν*? cod. Vat. B *καὶ †Ἀρσινόης*] *καὶ* ⟨*περὶ*⟩ *Ἀρσινόης* Werfer Act. phil. Monac. II 498, praeterea *δὲ* post *Ἀρσινόης* addi iubet Marckscheffel l. c. 125, nisi ante priores versus intercidisse statuas: '*Ἡσίοδος δὲ καὶ Κορωνίδος αὐτόν φησιν ἐν τοῖσδε τοῖς ἔπεσιν·* quibus subiungi posse verba tradita '*καὶ Ἀρσινόης ὁμοίως*'; in '*Ἀρσινόης*' poetae nomen latere suspicatus est Boeckh l. c.; '*Ἄσιος*' coniecit Kalkmann, Pausan. d. Perieg. 210 adn. 1; alterum utrum fragmentum Catalogo adscribendum esse censet Wilamowitz Isyll. 79 *Διὸς καὶ Λητόος*] Nauck MGrR. IV 376 sq., *λητοῦς καὶ διὸς* cod. Paris. 2403, *διὸς καὶ λητοῦς* libri cett.

88 *Λευκιππίδων*] *Λευκιππιδῶν* Schoemann Op. II 534; de ratione quae intercedit inter Leucippidum catalogum et Eoeam de Coronide Thessalica cf. Wilamowitz Isyll. 80

89 (113)

Schol. Ven. A Hom. *Δ* 195 (I 179, 12 D.) *Μαχάων δὲ οὗτος υἱὸς Ἀσκληπιοῦ καὶ Ἀρσινόης ἢ Κορωνίδος, κατὰ δέ τινας Ἠπιόνης τῆς Μέροπος, κατὰ δὲ Ἡσίοδον Ξάνθης*

90 (114)

Τιμάνδρην Ἔχεμος θαλερὴν ποιήσατ' ἄκοιτιν

Schol. Pind. Ol. XI (X) 79 (II 1, 252 B.) *ὑπὸ δὲ τούτου τοῦ Ἐχέμου τὸν Ὕλλον φασὶ τελευτῆσαι κατιόντα εἰς Πελοπόννησον· ἐγάμησε δὲ τὴν Τιμάνδραν. Ἡσίοδος 'Τιμάνδρην', φησίν, 'Ἔχεμος — ἄκοιτιν'* Servius in Vergil. Aen. VIII 130 (II 218 Th.-H.) *quaeritur sane, unde Euander Atridis genere fuerit coniunctus. et quamvis Hesiodus dicat, qualiter coniunctus sit Euander, tamen quidam aiunt Thestii filias Ledam et Hypermestram fuisse, Ledae et Tyndarei filias Clytemestram, Helenam et Timandram fuisse, quam duxit uxorem Echemus Arcas, cuius filius Euander*

91 (115)

Schol. Pind. Nem. X 150 (p. 327, 10 A.) de Castore et Polluce *ὁ μὲν Ἡσίοδος ἀμφοτέρους Διὸς εἶναι γενεαλογεῖ*

92 (116)

Schol. Pind. Nem. X 150 (p. 327, 16 A.) *ὁ μέντοι Ἡσίοδος οὔτε Λήδας οὔτε Νεμέσεως δίδωσι τὴν Ἑλένην, ἀλλὰ θυγατρὸς Ὠκεανοῦ καὶ Διός*

93 (117)

Τῇσιν δὲ φιλομμειδὴς Ἀφροδίτη
ἠγάσθη προσιδοῦσα, κακῇ δέ σφ' ἔμβαλε φήμῃ.

---

90 *Γ* 53 *θαλερὴν παράκοιτιν* cf. *ε* 120 *φίλον ποιήσετ' ἀκοίτην**
93, 1 *Γ* 424 *φιλομμειδὴς Ἀφροδίτη**

---

93 Stesich. Fr. 26, 3 B.[4] *κείνα (Κύπρις) δὲ Τυνδαρέου κόραις | χολωσαμένη διγάμους τε καὶ τριγάμους τίθησιν | καὶ λιπεσάνορας*

---

89 *Ξάνθης*] *ξανθινόης* schol. min.
92 *τὴν*] *τοὺς* D   *θυγατρὸς — Διὸς*] libri, cf. T. Mommsen Parerg. Pind. 39
93, 1 *τῇσιν*] *τῇσι* libri   *φιλομμειδὴς*] *φιλομειδής* codd. MAB, *φιλομηδὴς* T   2 *προσιδοῦσα*] *προιδοῦσα* MA   *κακῇ — φήμῃ*] Schwartz in ed. schol. I 123 adn., *κακὴν δέ σφ'* (*φ*^{η} A, *φ'* T, unde *φιν* Nauck MGrR. IV 389), *ἔμβαλε* (*ἤμβαλε* M, *ἔβαλε* T, *ἔβαλλε* A) *φήμην* libri

Τιμάνδρη μὲν ἔπειτ' Ἔχεμον προλιποῦσ' ἐβεβήκει,
ἵκετο δ' ἐς Φυλῆα, φίλον μακάρεσσι θεοῖσιν·
ὡς δὲ Κλυταιμήστρη προλιποῦσ' Ἀγαμέμνονα δῖον
Αἰγίσθῳ παρέλεκτο καὶ εἵλετο χείρον' ἀκοίτην·
ὡς δ' Ἑλένη ᾔσχυνε λέχος ξανθοῦ Μενελάου

1—7 Schol. Eurip. Orest. 249 (I 123, 8 Schw.) *Στησίχορός φησιν, ὡς θύων τοῖς θεοῖς Τυνδάρεως Ἀφροδίτης ἐπελάθετο, διὸ ὀργισθεῖσαν τὴν θεὸν διγάμους τε καὶ τριγάμους καὶ λειψάνδρους αὐτοῦ τὰς θυγατέρας ποιῆσαι . . . καὶ Ἡσίοδος δὲ 'τῇσιν — Μενελάου'*

4 Eustathius Hom. 125, 30 *καὶ Ἡσίοδος· 'Φυλῆα, φίλον μακάρεσσι θεοῖσιν'*

idem Hom. 126, 11 *πολλάκις δὲ καὶ ἀμφότερα ἤγουν διαφορὰν καὶ φωνῆς καὶ γραφῆς, ὡς τὸ 'Φυλῆα φίλον μακάρεσσι'*

idem Hom. 797, 46 *καὶ ὅρα τὸ 'φίλα τέκνα φυλάσσετε' παρηχήσει ἐοικός, ἣν . . . ἄλλοι (δὲ) πρὸ ἔργου ἔσχον, ἐν οἷς καὶ ὁ γράψας τὸ 'Φυλῆα φίλον'*

cf. idem Hom. 305, 17 *Φυλεὺς γάρ, φασι, μοιχεύσας Τιμάνδραν ἀδελφὴν Ἑλένης καὶ Κλυταιμνήστρας ἀπήγαγεν εἰς τὸ Δουλίχιον*

94

I *τ̣ης ἀγὸς ἀνδρῶν ⟨αἰχμ⟩ητάων*
ης πάντων ἀριδε⟨ίκετ⟩ος ἀνδρῶν
ας τε καὶ ἔγχεϊ ὀξ⟨υόε⟩ντι̣
ου λιπαρὴν πόλι⟨ν ε⟩ἵνεκα κούρης,

---

4 α 82 *φίλον μακάρεσσι θεοῖσιν** 5 Δ 223 *Ἀγαμέμνονα δῖον** 7 θ 269 *λέχος δ' ᾔσχυνε* Γ 284 *ξανθὸς Μενέλαος**
94, 1 cf. Π 490 *Λυκίων ἀγὸς ἀσπιστάων* Η 13 *Λυκίων ἀγὸς ἀνδρῶν* 2 Ξ 320 *πάντων ἀριδείκετον ἀνδρῶν** 3 Θ 514 *ἔγχεϊ ὀξυόεντι** 4 Ι 637 *εἵνεκα κούρης**

---

3 *Τιμάνδρη μὲν ἔπειτ' Ἔχεμον*] Geel (ex Eustath. Hom. 305, 17 et Pausan. VIII 5, 1) in Goettlingii ed.[2] praef. LX, *τίς ἀνδρὶ μένει εἴτ' ἔχετον* MT, *πεισάνδρη μὲν ἐπεί τ' ἔχετον* A, ... (spatio relicto) *τ' ἔχετον* B 4 *ἐς*] *εἰς* MTB *Φυλῆα*] *φιλία* M, *φλῆα* A, *Φυλέα* Eustathii cod. ll. omnibus, quod corrigendum esse putavi *θεοῖσιν*] om. A *Κλυταιμήστρη*] *κλυταιμνήστρα* libri *προλιποῦσ'*] Cobet, *λιποῦσ'* libri 6 *ἀκοίτην*] *ἀκοίταν* B 7 *ὡς δ'*] *ὧδ'* M *θύων*] *θεοῦ* M *ἐπελάθετο*] *ἐλάθετο* MTA *ὀργισθεῖσαν*] *ὀργισθεῖσα* MB *τὴν θεὸν*] *ἡ θεὸς* B *τε*] om. A *ποιῆσαι*] Schwartz l. c., *ἐποίησεν* libri
94 Catalogi fragmentum esse e Fr. 95 et 96 vidit Wilamowitz l. supra c. 847 I 1 *⟨τηλόθεν ἐκ Κρή⟩της* Blass Herm. XXXVI 158; an *ἦλθε δ' ἄρ'*? ····‾HC papyrus B *ἀγὸς*] AIOC B *ἀνδρῶν*] ΑΝΔΡΩΝ B *⟨αἰχμ⟩ητάων*] restituit Wilamowitz l. c. 840 2 . . . *ης*] urbis vel regionis nomen subesse suspicatur Wilamowitz l. c.; *ἵκετο Μηριόν⟩ης* Blass l. c., cui nomini potius *ἥρως* anteposuerim cf. Hom. Ν 575 3 *τοξάζεσθαι ἐκ⟩ὰς* Blass l. c., ····AC B 4 *ἐκπρολιπὼν Κνωσ⟩οῦ*? Blass l. c.

ἢ εἶδ⟩ος ἔχεν χρυσέης Ἀφ⟨ροδί⟩της·
ν Χαρίτων ἀμαρ⟨ύγμ⟩ατ' ἔχουσαν
Τυνδάρεω βασ⟨ιλῆ⟩ος
ροισι δόμοις κυανῶπις
μεγε ευτ
κων

II τοσσαύτας δὲ γυναῖκας, ἀμύμονα ἔργα ἰδυίας,
πάσας χρυσείας φιάλας ἐν χερσὶν ἐχούσας.
καί νύ κε δὴ Κάστωρ τε καὶ ὁ κρατερὸς Πολυδεύκης
γαμβρὸν ποιήσαντο κατὰ κράτος, ἀλλ' Ἀγαμέμνων
γαμβρὸς ἐὼν ἐμνᾶτο κασιγνήτῳ Μενελάῳ.
υἱὼ δ' Ἀμφιαράου Ὀικλεΐδαο ἄνακτος
ἐξ⟩ Ἄρ⟨γ⟩εος ἐμνῶντο μ⟨άλ' ἐγ⟩γύθεν· ἀλλ' ἄρα καὶ τοὺς
θεων μεσις
θη

III ἀλλ' οὐκ ἦν ἀπάτης ἔργον παρὰ Τυνδαρίδῃσιν.
ἐκ δ' Ἰθάκης ἐμνᾶτο Ὀδυσσῆος ἱερὴ ἴς,
υἱὸς Λαέρταο πολύκροτα μήδεα εἰδώς.
δῶρα μὲν οὔ ποτ' ἔπεμπε τανυσφύρου εἵνεκα κούρης·
ᾔδεε γὰρ κατὰ θυμόν, ὅτι ξανθὸς Μενέλαος

5 δ 14 ἣ εἶδος ἔχεν χρυσέης Ἀφροδίτης* 6 cf. ζ 18 Χαρίτων ἄπο κάλλος ἔχουσαι* 11 I 270 ἑπτὰ γυναῖκας ἀμύμονα (ἀμύμονας Aristarchus) ἔργα ἰδυίας* 12 cf. Σ 551 ἐν χερσὶν ἔχοντες* 13 cf. φ 128 sq. καί νύ κε δή* . . . ., ἀλλ' Ὀδυσεύς 15 N 466 γαμβρὸς ἐών* 21 cf. β 409 ἱερὴ ἲς Τηλεμάχοιο 22 θ 18 υἱὸν Λαέρταο* cf. α 1 v. l. ἄνδρα . . . πολύκροτον ap. Eust. Hom. 1381, 49 β 38 πεπνυμένα μήδεα εἰδώς* 23 cf. θ 319 κυνώπιδος εἵνεκα κούρης* 24 B 409 ᾔδεε γὰρ κατὰ θυμόν* Γ 284 ξανθὸς Μενέλαος*

94, 22 Quint. Smyrn. V 238 υἱὸς Λαέρταο πολύτροπα μήδεα νωμῶν

5 ⟨Ἀργείης⟩ in principio versus Eitrem Herm. XXXVI 158 adn. ἢ εἶδ⟩ος] ex Hom. δ 14 restituit Wilamowitz l. c. ἔχεν] ΕΧΕ B χρυσέης] scripsi, ΧΡΥCΗC B 6 κόμη⟩ν dubitans Wilamowitz l. c. 7 Τυνδάρεω] ΤΥΝΔΑΡΕΩ B 8 sq. γείνατ' ἐν ὑψορό⟩φοισι δόμοις ⟨ἄλοχος⟩ κυανῶπις | ⟨Λήδη⟩ Eitrem l. c., ····ΡΟΙCΙΔΟΜΟΙC·····ΚΥΑΝΩΠΙC··· B 9 ευτ] pro Є fortasse C legi posse adnotat Wilamowitz l. c. II 11 ἔργα ἰδυίας] CΡΓΕΙΔΥΙΑC B 13 καί] ΚΑΙ B 14 ποιήσαντο] ⟨ἐ⟩ποιήσαντο Wilamowitz l. c. 841 17 ἐξ⟩] Wilamowitz l. c. μ⟨άλ' ἐγ⟩γύθεν] restituit idem l. c. III 21 ἴς] ΕΙC B 22 πολύκροτα] πολύτροπα Quintus, qui locum imitatur, unde duplicem lectionem extitisse conclusit Wilamowitz l. c. 846 23 τανυσφύρου] ΤΑΝΙCΦΥΡΟΥ B 24 ᾔδεε] ΗΔΕΕ B

νικήσει· κτήνεσσι δ' Ἀχαιῶν φέρτατος ἦεν·
ἀγγελίην δ' αἰεὶ Λακεδαίμονάδε προΐαλλε
Κά⟨στορί θ' ἱ⟩πποδάμῳ καὶ ἀεθλοφόρῳ Πολυδεύκει
ο⟩νος υἱός
ἔε⟩δ̣να
λ̣⟨α⟩βο̣ῦ̣σ̣α̣

IV *Κάστορί θ' ἱπποδάμῳ καὶ ἀεθλοφόρῳ Πολυδεύκει*
ἱμείρων Ἑλένης πόσις ἔμμεναι ἠυκόμοιο,
εἶδος οὔ τι ἰδών, ἀλλ' ἄλλων μῦθον ἀκούων.
ἐκ Φυλάκης δ' ἐμνῶντο δύ' ἀνέρες ἔξοχ' ἄριστο⟨ι,
υἱός τ' Ἰφίκλοιο Ποδάρκης Φυλακίδαο
ἠύς τ' Ἀκτορίδης ὑπερήνωρ Πρωτεσίλαος·
ἄμφω δ' ἀγγελίην Λακεδαίμονάδε προΐαλλον
Τυνδαρέου π̣⟨ρὸς⟩ δῶμα, δαΐφρονος Οἰβαλίδαο,
πολλὰ δ' ἔεδν⟨α δίδον⟩, μέγα γὰρ κλέο⟨ς ἔσκε γυ⟩ναικός,
χαλ⟨κ
χρυ⟨σ

V *Ἀργεΐης Ἑλένης πόσις ἔμμενα⟨ι ἠυκόμοιο.*
ἐκ δ' ἄρ' Ἀθηνέων μνᾶθ' υἱὸς Π⟨ετεῶο Μενεσθεύς,

---

27. 31 *Γ* 237 *Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα* 32. 42 *Γ* 329 *Ἑλένης πόσις ἠυκόμοιο** 34 *λ* 290 *ἐκ Φυλάκης** *Τ* 158 *δύο δ' ἀνέρες ἔξοχ' ἄριστοι** 35 cf. *Β* 703 sq. *Ποδάρκης* . . . | *Ἰφίκλου υἱὸς πολυμήλου Φυλακίδαο* 42 *Β* 161 *Ἀργείην Ἑλένην** 43 *Β* 552 *υἱὸς Πετεῶο Μενεσθεύς**

---

27. 31 Cypr. Fr. 9, 6 K. *Κάστορά θ' ἱππόδαμον καὶ ἀεθλοφόρον Πολυδεύκεα*

---

25 *νικήσει·*] Wilamowitz l. c. 842, ΝЄΙΚΉCΗ B *κτήνεσσι δ'*] scribendum? cf. v. 49; ΚΤΗΝΩ'ΓΑΡ B, *κτήνει γὰρ* Wilamowitz l. c., *κτεάνοις* (*κτήνοις*?), *κτῆσιν* (*κτήσει*, *κτῆσι*) *γὰρ* coniecit Blass Herm. XXXVI 159 27 cf. v. 31 *Κά⟨στορι*] ΚΆ···· B *Πολυδεύκει*] ΠΟΛΥΔЄ́ΥΚЄΙ B 28 *ο⟩νος*] *Εὐαίμονος* ex Hom. *Β* 736 al. coniecit Wilamowitz l. c. 843 30 *λ⟨α⟩βοῦσα*] Λ⟨α⟩Β̣Ο̣Υ̣̂C̣Α̣ B (etiam accusativum legi posse monet Wilamowitz l. c. 843) IV 31 *ἀεθλοφόρῳ*] ΑЄΘΛΟΦΌΡΩΙ B 32 *ἱμείρων*] ЄΙΜЄΙΡΩΝ B 33 *εἶδος*] *εἰδός* ϝ' antiquitus scriptum fuisse vidit Wilamowitz l. c. 843 *ἄλλων*] ΆΛΛΩΝ B 34 *ἄριστο⟨ι*] ex Hom. *Τ* 158 *Φ* 185 Wilamowitz l. c. 843 35 *τ'*] ΤЄ B 36 *τ'*] ΤЄ B *ὑπερήνωρ*] ΫΠЄΝΗΝΩΡ B, correxit Wilamowitz l. c. 843 37 *ἄμφω*] ΆΜΦΩ B 38 *Τυνδαρέου*] an *Τυνδάρεω* e v. 7? *π̣⟨ρὸς*] restituit Wilamowitz l. c. *δῶμα*] ΔΩ͂ΜΑ B *Οἰβαλίδαο*] ΟΙΒΑΛΊΔΑΟ B 39 *ἔεδν̣⟨α δίδον⟩* e v. 44 Wilamowitz l. c., ЄЄΔΝ···· B *κλέο⟨ς ἔσκε γυ⟩ν̣α̣ικός*] restituit Wilamowitz l. c. V 42 *ἠυκόμοιο*] e v. 32 addidit Wilamowitz l. c. 844 43 *Π⟨ετεῶο Μενεσθεύς*] ex Hom. *Β* 552 idem l. c.

πολλὰ δ' ἔεδνα δίδου· κειμήλια γ⟨ὰρ μάλα πολλὰ
ἔκτητο χρυσόν τε λέβητάς τ⟨ε τρίποδάς τε
καλά, τά ῥ' ἔνδοθι κεῦθε δόμος ⟨Πετεῶο ἄνακτος,
οἷς μιν θυμὸς ἀνῆκεν ἐεδνῶσ⟨αι παράκοιτιν,
πλεῖστα πορόντ', ἐπεὶ ο⟨ὔ⟩ τιν' ἐέλπε⟨το φέρτερον εἶναι
πάντω⟩ν ἡρώων κτήνεσσί τε δω?
τειδαο δόμους κρατερὸς
Ἑλένη⟩ς ἕνεκ' ἠ⟨υκόμοιο

Papyrus Berolinensis musei Aegypt. 9739 (= B) saec. ut videtur alterius ed. Wilamowitz Sitzungsb. d. preuss. Akad. 1900 p. 839 sqq.

95 (118)

Schol. Townl. Hom. *T* 240 (VI 298, 14 M.) *Λυκομήδεα*] *Κρὴς ὁ Λυκομήδης, ὥς φησιν Ἡσίοδος καταλέγων τοὺς μνηστῆρας Ἑλένης*

96 (119)

Pausanias III 24, 10 (7) *καὶ ὅτι μὲν τῶν Ἑλένης μνηστήρων Ἀχιλλεὺς οὐκ ἔστιν ἐν Καταλόγῳ γυναικῶν, μηδὲν τοῦτο ἔστω τεκμήριον οὐκ αἰτῆσαι Ἑλένην αὐτόν*

97 (120)

Schol. Ven. A Hom. *T* 116 (II 187, 1 D.) *ἄλοχον Σθενέλου*] *Δίδυμος παρατίθεται Φερεκύδην μὲν λέγοντα αὐτὴν τὴν Πέλοπος Ἀμφιβίαν· Ἡσίοδος δὲ Ἀντιβίαν τὴν Ἀμφιδάμαντος ἀποφαίνεται*

aliter Schol. Townl. Hom. l. c. (VI 291, 17 M.) *οἱ μὲν Ἀμφιβίαν τὴν Πέλοπος, οἱ δὲ Ἀντιβίαν τὴν Ἀμφιδάμαντος. Ἡσίοδος δὲ Νικίππην φησὶ τὴν Πέλοπος*

---

45 *Ψ* 259 *λέβητάς τε τρίποδάς τε** 51 *I* 339 *Ἑλένης ἕνεκ' ἠυκόμοιο**

---

44 *κειμήλια*] ΚЄΙΜΉΛΙΑ B *γ⟨ὰρ — πολλὰ*] restituit Wilamowitz l. c. 45 *ἔκτητο*] ЄΚΤΗ͡ΤΟ B *τ⟨ε τρίποδάς τε*] Wilamowitz l. c. 46 *τά ῥ'*] ΤΑΡ B, *τά τ'* Wilamowitz l. c. 844 *⟨Πετεῶο ἄνακτος*] idem l. c. 47 *ἐεδνῶσ⟨αι παράκοιτιν*] Blass Herm. XXXVI 159, ЄЄΔΝΩC···· B, *ἐεδνώσ⟨ασθαι ἄκοιτιν* Wilamowitz l. c. 48 *οὔ τιν'*] Ó⟨υ⟩ΤΙΝ B *ἐέλπε⟨το — εἶναι*] Wilamowitz l. c. 49 *⟨πάντω⟩ν*] idem l. c. *ἡρώων*] ΗΡΏΩΝ B *τε δω?..*] post Δ litterae vestigia (Є? Ο? Ω?) in B; *τε δω⟨τίναις τε* coniecit Wilamowitz l. c. 51 *Ἑλένη⟩ς ἕνεκ' ἠ⟨υκόμοιο*] ex Hom. idem l. c.

95 *Κρὴς ὁ Λυκομήδης*] *Λυκομήδης ὁ Κρέοντος* coll. Pausan. X 25, 7 Engelmann in Roscheri Lex. d. Myth. I c. 1935, sed cf. Wilamowitz Sitzungsb. d. preuss. Akad. 1900 p. 847 adn. 4

98 (121)

Schol. Ven. A et min. Hom. *A* 7 (I 7, 9 D., cf. Ludwich, Verz. d. Vorles. v. Königsberg Sommer 1900 p. 13) *Ἀγαμέμνων κατὰ μὲν Ὅμηρον Ἀτρέως τοῦ Πέλοπος, μητρὸς δὲ Ἀερόπης, κατὰ δὲ Ἡσίοδον Πλεισθένους* (cf. Schol. Ven. A Hom. *B* 249)

Eustathius Hom. 21, 14 *Ἡσίοδος γὰρ καὶ ἕτεροι Πλεισθένους αὐτὸν (Ἀγαμέμνονα) γενεαλογοῦσιν*

Schol. Tzetzae Alleg. Anecd. Ox. III 378, 9 Cr. *Ὅμηρος καὶ οἱ πλείους Ἀτρέως φασὶ τούτους, Ἡσίοδος δὲ Πλεισθένους*

Tzetzes Exeg. Iliad. 68, 19 H. *ὁ Ἀγαμέμνων, ὁμοίως δὲ καὶ Μενέλαος καθ' Ἡσίοδον καὶ Αἰσχύλον Πλεισθένους υἱοῦ Ἀτρέως παῖδες νομίζονται· κατὰ δὲ τὸν ποιητὴν καὶ πάντας ἁπλῶς Ἀτρέως αὐτοῦ . . . . Ἀτρέως δὲ καὶ Ἀερόπης κατὰ μὲν τὸν ποιητὴν καὶ πάντας ἁπλῶς Ἀγαμέμνων Μενέλαος καὶ Ἀναξιβία, ἡ μήτηρ Πυλάδου· κατὰ δὲ Ἡσίοδον καὶ Αἰσχύλον καὶ ἄλλους τινὰς Ἀτρέως καὶ Ἀερόπης Πλεισθένης· Πλεισθένους δὲ καὶ Κλεόλλας τῆς Δίαντος Ἀγαμέμνων Μενέλαος καὶ Ἀναξιβία· νέου δὲ τοῦ Πλεισθένους τελευτήσαντος ὑπὸ τοῦ πάππου αὐτῶν ἀνατραφέντες Ἀτρέως Ἀτρεῖδαι πολλοῖς ἐνομίζοντο*

99 (122)

Ἣ τέκεθ' Ἑρμιόνην δουρὶ κλειτῷ Μενελάῳ·
ὁπλότατον δ' ἔτεκεν Νικόστρατον, ὄζον Ἄρηος

Schol. Laur. Soph. El. 539 (p. 128, 12 P.) *ὅμως οὖν συμφωνεῖ αὐτῷ (Σοφοκλεῖ) Ἡσίοδος· 'ἣ — Ἄρηος'*

100 (123)

Philodemus *περὶ εὐσεβ.* 24 (tab. 52 a 5) G. *Στη⟨σίχορο⟩ς δ' ἐν Ὀρεστεί⟨ᾳ κατ⟩ακολουθήσας ⟨Ἡσιό⟩δῳ? τὴν Ἀγαμέ⟨μνονος Ἰ⟩φιγένειαν εἶ⟨ναι τὴ⟩ν Ἑκάτην νῦν ⟨ὀνομαζ⟩ομένην ⟨καὶ π⟩ερὶ . . . . αιαν τὸν τά⟨φο⟩ν ε⟨ἶναι*

Pausanias I 43, 1 *λέγουσι δὲ (οἱ Μεγαρεῖς) εἶναι καὶ Ἰφιγενείας ἡρῷον· ἀποθανεῖν γὰρ καὶ ταύτην ἐν Μεγάροις. ἐγὼ δὲ ἤκουσα μὲν καὶ ἄλλον ἐς Ἰφιγένειαν λόγον ὑπὸ Ἀρκάδων λεγόμενον, οἶδα δὲ*

99, 1 *E* 55 *δουρὶ κλειτὸς Μενέλαος** 2 *B* 663 *ὄζον Ἄρηος**

99, 1 *δουρὶ κλειτῷ*] *δουρικλυτῷ* cod. Laurent., *δουρικλειτῷ* Wunder 2 *ἔτεκεν*] *υἱὸν* Blaydes Advers. 9 *οὖν*] Wolff, *οὐ* cod. Laurent., *οὕτω* Elmsley *Ἡσίοδος*] Hesiodi nomen num recte traditum sit, coll. Porphyrio ad Hom. *Γ* 175 addubitat Sittl Wien. St. XII 49

100 *⟨Ἡσιό⟩δῳ*] ···ΤΩ papyrus *⟨καὶ π⟩ερὶ — ε⟩ἶναι* Sauppe Phil. XXI 139, ···ЄΡΙ···ΑΙΑΝΡΗΤΑ·ΝЄ pap.; cf. Bergk Poet. lyr. Gr.[4] III 221 *Ἀρκάδων*] cum *Ἀργείων* ethnico Pausaniam commutasse arbitratur Wilamowitz Herm. XVIII 252 adn. 2

Ἡσίοδον ποιήσαντα ἐν Καταλόγῳ γυναικῶν Ἰφιγένειαν οὐκ ἀποθανεῖν, γνώμῃ δὲ Ἀρτέμιδος Ἑκάτην εἶναι

101 (124)

Eustathius Hom. 13, 44 sq. (cf. Phavorinus Ecl. Gramm. Gr. I 361, 8 D.) *ἦν δέ, φασι, Βούτης υἱὸς Ποσειδῶνος, ὡς Ἡσίοδος ἐν Καταλόγῳ*

102 (126)

Pausanias II 6, 5 *Σικυῶνα δὲ οὐ Μαραθῶνος τοῦ Ἐπωπέως, Μητίονος δὲ εἶναι τοῦ Ἐρεχθέως φασίν* (Sicyonii). *ὁμολογεῖ δέ σφισι καὶ Ἄσιος, ἐπεὶ Ἡσίοδός γε καὶ Ἴβυκος, ὁ μὲν ἐποίησεν ὡς Ἐρεχθέως εἴη Σικυών, Ἴβυκος δὲ εἶναι Πέλοπός φησιν αὐτόν*

103 (128)

Ὃς βασιλεύτατος ἔσκε καταθνητῶν βασιλήων
καὶ πλείστων ἐνάσσε περικτιόνων ἀνθρώπων
Ζηνὸς ἔχων σκῆπτρον· τῷ καὶ πολέων βασίλευεν

1—3 Pseudoplato Min. p. 320 D *εἴρηκε δὲ καὶ Ἡσίοδος ἀδελφὰ τούτων εἰς τὸν Μίνων· μνησθεὶς γὰρ αὐτοῦ τοῦ ὀνόματος φησὶν 'ὃς — βασίλευεν'*

1 Plutarchus Thes. 16 *καὶ γὰρ ὁ Μίνως ἀεὶ διετέλει κακῶς ἀκούων καὶ λοιδορούμενος ἐν τοῖς Ἀττικοῖς θεάτροις καὶ οὔτε Ἡσίοδος αὐτὸν ὤνησε 'βασιλεύτατον' καὶ οὔτε Ὅμηρος 'ὀαριστὴν Διὸς' προσαγορεύσας*

104 (129)

Εὐρυγύης δ' ἔτι κοῦρος Ἀθηνάων ἱεράων

Hesychius v. *ἐπ' Εὐρυγύῃ ἀγών. Μελησαγόρας τὸν Ἀνδρόγεων Εὐρυγύην εἰρῆσθαί φησι τὸν Μίνωος, ἐφ' ᾧ τὸν ἀγῶνα τίθεσθαι ἐπιτάφιον Ἀθήνησιν ἐν τῷ Κεραμεικῷ· καὶ Ἡσίοδος 'Εὐρυγύης — ἱεράων'*

103, 2 *β* 65 *περικτίονας ἀνθρώπους**
104 *λ* 323 *Ἀθηνάων ἱεράων**

103, 2 Pseudorph. Arg. 502 A. *ὃς Δολιέων ἤνασσε περικτιόνων ἀνθρώπων* Hymn. Hom. Apoll. Pyth. 96 *περικτιόνων ἀνθρώπων**

103, 1 *ἔσκε καταθνητῶν*] (vel nomine addito *Μίνως, ὃς βασιλεύτατος ἦν θνητῶν βασιλήων*) Schneidewin Gött. Gel. Anz. 1842 I 527; *γένετο θνητῶν* codd. 2 *ἐνάσσε*] *ἐϜάνασσε* Flach d. hes. Ged. 89, *ἤνασσε* libri, quod praefert Devantier d. Spur. d. anl. Dig. b. Hes. III 27
104 *ἔτι κοῦρος*] *ἐπίκουρος* Goettling ed.² 276, *ἐπίουρος* Peppmüller *Ἀθηνάων*] Hermann Op. VI 260, *Ἀθηναίων* Hesychii lib.

105 (130)

Δεινὸς γάρ μιν ἔτειρεν ἔρος Πανοπηίδος Αἴγλης

Plutarchus Thes. 20 *πολλοὶ δὲ λόγοι καὶ περὶ τούτων ἔτι λέγονται καὶ περὶ τῆς Ἀριάδνης . . . . ἀπολειφθῆναι δὲ τοῦ Θησέως ἐρῶντος ἑτέρας· ʽδεινὸς — Αἴγλης'. τοῦτο γὰρ τὸ ἔπος ἐκ τῶν Ἡσιόδου Πεισίστρατον ἐξελεῖν φησιν Ἡρέας ὁ Μεγαρεύς.*

Athenaeus XIII 557 a (III 228, 10 K.) *Ἡσίοδος δέ φησιν καὶ Ἵππην καὶ Αἴγλην (τὸν Θησέα νομίμως γῆμαι), δι' ἣν καὶ τοὺς πρὸς Ἀριάδνην ὅρκους παρέβη, ὥς φησι Κέρκωψ*

106 (131)

Harpocration (I 202, 7 D.), cf. Suidas (II a 769 B.) et Photius (220 P.), v. *Μελίτη· δῆμός ἐστι τῆς Κεκροπίδος· κεκλῆσθαι δέ φησι τὸν δῆμον Φιλόχορος ἐν γ' ἀπὸ Μελίτης θυγατρὸς κατὰ μὲν Ἡσίοδον Μύρμηκος, κατὰ δὲ Μουσαῖον Δίου τοῦ Ἀπόλλωνος*

107 (132)

Strabo IX p. 393 *Κυχρείδης ὄφις, ὅν φησιν Ἡσίοδος τραφέντα ὑπὸ Κυχρέως ἐξελαθῆναι ὑπὸ Εὐρυλόχου λυμαινόμενον τὴν νῆσον, ὑποδέξασθαι δὲ αὐτὸν τὴν Δήμητρα εἰς Ἐλευσῖνα καὶ γενέσθαι ταύτης ἀμφίπολον. ὠνομάσθη δὲ καὶ Πιτυοῦσσα ἀπὸ τοῦ φυτοῦ*

(cf. Stephanus Byz. v. *Κυχρεῖος πάγος*)

108 (133)

Argumentum Scuti *Α* 7 *Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ἐν τῷ τρίτῳ φησὶν αὐτοῦ* (*Ἡσιόδου τὴν Ἀσπίδα*) *εἶναι ἔκ τε τοῦ χαρακτῆρος καὶ ἐκ τοῦ πάλιν τὸν Ἰόλαον ἐν τῷ Καταλόγῳ εὑρίσκειν ἡνιοχοῦντα Ἡρακλεῖ*

109 (134)

Schol. Pind. Ol. VII 42 (II 1, 166 B.) *Ἀστυδαμείας*] *Ὅμηρος ταύτην Ἀστυόχην φησίν, οὐκ Ἀστυδάμειαν . . . καὶ Ἡσίοδος δὲ Ἀστυδάμειαν αὐτήν φησι, Φερεκύδης δὲ Ἀστυγένειαν· ἦν δὲ Φύλαντος θυγάτηρ. τινὲς δὲ ἐξ Ἀντιγόνης αὐτῷ Τληπόλεμόν φασιν. ἐνταῦθα δὲ Ἀμύντορος αὐτήν φησιν ὁ Πίνδαρος· Ἡσίοδος δὲ καὶ Σιμωνίδης Ὀρμενοῦ*

---

105 'Aegimio' adscripserit Sittl Wien. St. XII 49 *ἔρος*] Baumeister Hymn. Hom. 235, *ἔρως* Plutarchi codd.

106 *κεκλῆσθαι — ἀπὸ*] Harpocration, *ὀνομασθεὶς ἀπὸ* Suidas Photius *Μύρμηκος*] Harpocration, *θυγατρὸς Μύρμηκος* Suidas Photius

109 restituit T. Mommsen e cod. Ambros. Ann. crit. ad Pind. Ol. suppl. 72 *Ὀρμενοῦ*] *Ὀρμένου* Bergk Poet. lyr. Gr.[4] III 529

110 (135)

Ἡ δ' ὑποκυσαμένη καλλίζωνος Στρατονίκη
Εὔρυτον ἐν μεγάροισιν ἐγείνατο φίλτατον υἱόν·
τοῦ δ' υἱεῖς ἐγένοντο Διδαίων τε Κλυτίος τε
Τοξεύς τ' ἀντίθεος ἰδὲ Ἴφιτος, ὄζος Ἄρηος·
τοὺς δὲ μέθ' ὁπλοτάτην τέκετο ξανθὴν Ἰόλειαν
Ἀντιόπη κρείουσα παλαιοῦ Ναυβολίδαο

Schol. Laur. Soph. Trach. 266 (296, 2 P.) *διαφωνεῖται δὲ ὁ τῶν Εὐρυτιδῶν ἀριθμός. Ἡσίοδος μὲν γὰρ δ' φησὶν ἐξ Εὐρύτου καὶ Ἀντιόπης παῖδας οὕτως* '*ἡ — Ναυβολίδαο*'

111

Ἡ τέκεν Αὐτόλυκόν τε Φιλάμμονά τε κλυτὸν αὐδήν

Herodianus (Theodosius) *περὶ κλίσ. τῶν εἰς ων βαρυτόν.* (Excerpta ex libris Herodiani techn. p. 21, 2 H.) *Φιλάμμων Φιλάμμονος ὡς παρ' Ἡσιόδῳ·* '*ἡ — αὐδήν*'

112 (136)

Ὅττι κε χερσὶ λάβεσκεν, ἀείδελα πάντα τίθεσκεν

Et. mag. v. *ἀείδελον· ἐπὶ δὲ τοῦ ἀοράτου ἐχρήσατο τῇ λέξει Ἡσίοδος περὶ τοῦ Αὐτολύκου. φησὶ γὰρ* '*ὅττι — τίθεσκεν*'. *καὶ γὰρ ὁ αὐτός, κλέπτης ὤν, ἔκλεπτε τοὺς ἵππους καὶ ἀλλοιοφανεῖς αὐτὸς ἀπετέλει· ἐνήλλασσε δὲ τὰς χροιὰς αὐτῶν*

110, 1 Z 26 *ἡ δ' ὑποκυσαμένη** 4 cf. *λ* 512 *Νέστωρ ἀντίθεος** *B* 540 *ὄζος Ἄρηος** 5 cf. *ο* 364 *τὴν ὁπλοτάτην τέκε παίδων*
111 cf. *O* 55 v. l. *Ἀπόλλωνα κλυτὸν αὐδήν**

110, 5 Callim. Epigr. 7, 3 *ξανθὴν Ἰόλειαν*
111. 112 Ovid. Met. XI 313. 317 *nascitur Autolycus, furtum ingeniosus ad omne | . . . nascitur . . . | carmine vocali clarus citharaque Philammon*

110, 2 *Εὔρυτον*] ΕΥΡΥΤΙΟΣ amphora Corinthia Mon. d. Inst. VI 33 cf. Kretschmer d. griech. Vaseninschr. 47 sq. 3 *ἐγένοντο*] cod. Lobkowitzianus, *γένοντο* cod. Laur. *Διδαίων*] restituendum videtur, ΔΙΔΑΙϜΟΝ inscriptio amphorae, cf. Kretschmer l. c. et quae dixi Wien. St. XXI 215; ΙΔΗΉΩΝ cod. Laur. m[1] (postea Ι erasum et Ή in ί mut.); *Μολίων* Hermann ad Soph. Trach. 266 *τε*] ante *Κλυτίος* addidit Triclinius 4 *Τοξεύς*] ΤΟΞΟΣ vel simile quid amphora *ἰδὲ*] Flach d. hes. Ged. XII, *ἠδ'* schol. Soph. *Ἴφιτος*] ϜΙΦΙΤΟΣ amphora 6 *Ἀντιόπη*] Bentley (cf. schol. Apoll. Rhod. Arg. *A* 87 Diodor. IV 37), *Ἀντιόχη* schol. Soph. *παλαιοῦ* (coll. Hom. *A* 166)] Hermann l. c., *παλαιόο* Nauck MGrR. IV 387, *παλαιὸν γένος* cod. Laur., *Πύλωνος* ex Hygini fab. 14 Bentley *Ἀντιόπης*] Bentley, *Ἀντιόχης* schol.
112 *ὅττι κε χερσὶ*] Et. mag. Et. in Anecd. Par. (sed *καὶ* Anecd.); ⟨*πάντα*⟩ *γὰρ ὅσσα* Tzetzes *ἀείδελα*] *ἀήδελα* Anecd. Par., *ἀίδηλα* Tzetzae codd.

Et. in Anecd. Par. IV 95, 22 Cr. . . *ἀείδελος ὡς Ἡσίοδος περὶ Αὐτολύκου* '*ὅττι — τίθεσκεν*'

Tzetzes in Lycophr. 344 (II 546 M.) *οὗτος ὁ Αὐτόλυκος κλεπτοσύνῃ πάντας ὑπερέβαλε· κλέπτων γὰρ πάντων ἵππους τε καὶ βόας καὶ ποίμνια, τὰς σφραγῖδας αὐτῶν μετεποίει καὶ ἐλάνθανε τοὺς δεσπότας αὐτῶν, ὥς φησι καὶ Ἡσίοδος·* '*πάντα — τίθεσκε*'

112b

Philodemus *περὶ εὐσεβ.* 49, 3 (tab. 128) G. . . *μετ⟩αμορφωθ⟨ῆναι⟩ δὲ πολ⟨λοὺς⟩ α⟨ὐτῶν π⟩αντελῶς. (κ)α⟨ὶ ὁ Ποσ⟩ειδῶν λέγετ⟨αί τισι τ⟩ῶν ἀνθρώπ⟨ων φύσι⟩ν περιθεῖν⟨αι⟩ το⟨ι⟩αύτην, ⟨καθάπερ⟩ Περικλυμέ⟨νωι⟩ κ⟨αὶ Μ⟩ήστραι· τούτων τὴν μὲν ἱστόρη⟨κ⟩ε Ἡσ⟨ί⟩οδος διχ..κασθῆναι χάρ⟨ιν τοῦ δι⟩ατρέφεσθα⟨ι*

113 (138)

Αἴπυτος αὖ τέκετο Τλησήνορα Πειρίθοόν τε

Apollonius Lex. Hom. v. *Αἰπύτιον τὸν τοῦ Αἰπύτου· . . . . ἔστι δὲ οὗτος τῶν Ἀρκαδικῶν ἡρώων, περὶ οὗ φησιν Ἡσίοδος* '*Αἴπυτος — Πειρίθοόν τε*'

114 (139)

Et. mag. v. *Βροτός· ὡς μὲν Εὐήμερος ὁ Μεσσήνιος, ἀπὸ Βρότου τινὸς αὐτόχθονος· ὁ δὲ Ἡσίοδος ἀπὸ Βροτοῦ τοῦ Αἰθέρος καὶ Ἡμέρας*

115 (141)

Ἤ τοι γὰρ Λοκρὸς Λελέγων ἡγήσατο λαῶν,
τούς ῥά ποτε Κρονίδης Ζεὺς ἄφθιτα μήδεα εἰδὼς
λεκτοὺς ἐκ γαίης ἀλέας πόρε Δευκαλίωνι

1—3 Strabo VII p. 322 *μάλιστα δ' ἂν τις Ἡσιόδῳ πιστεύσειεν οὕτως περὶ αὐτῶν εἰπόντι·* '*ἦ τοι — Δευκαλίωνι*'. *τῇ γὰρ ἐτυμολογίᾳ*

115, 2 Ω 88 *Ζεὺς ἄφθιτα μήδεα εἰδώς**

112b fragmentum de Mestra, Ovidio (Met. VIII 739) teste Autolyci uxore, a Wilamowitzio Herm. XXXIII 522 restitutum h. l. posui

114 huic fragmento in pleniore Theogoniae forma locum assignabat Isler Quaest. Hes. spec. 38; sed cf. Muetzell de em. Theog. Hes. 404

115, 3 *λεκτοὺς*] om. pars codd. Et. Gud. *ἀλέας*] Villebrun (cf. Schneidewin Exerc. crit. 26) v. Anecd. Ox., *ἀλέους* codd. Strabonis pars (in quibusdam deest), *λαοὺς* Et. Gud. et Angel., *λᾶας* Heyne ad Apollod. bibl. observ. (1803) 40 (cf. Bergk Op. II 281) *Δευκαλίωνι*] Strabo Et. Gudiani cod. Vindob. 158 s. XIII Et. Angel. (*δευκαλιον*); *λευκανίωνι* Et. Gudiani codd. Paris. 2630 s. XIII Vindob. 23 s. XII Paris. suppl. gr. 172 s. XIII, *λευκανίονι* Et. Gudiani cod. Paris. 2631 s. XIII; *Λευκαρίωνι* Reitzenstein Gesch. d. griech. Etym. 164 BphW. 1895 c. 858 Phil. LV 194 sqq., quod Hesiodo reddi iubet, sed cf. Usener Rh. Mus. LVI 483 sq.

τὸ συλλέκτους γεγονέναι τινὰς ἐκ παλαιοῦ καὶ μιγάδας αἰνίττεσθαί μοι δοκεῖ καὶ διὰ τοῦτο ἐκλελοιπέναι τὸ γένος

2 sq. Et. Gud. ap. Reitzenstein Gesch. d. gr. Etym. 164, 28 (cf. Et. Angel. Ritschl Op. I 689) *Σελεύκου· λαοί· ὁ μὲν Ἡσίοδος· 'τούς — Λευκαρίωνι'*

3 Epim. in Anecd. Ox. I 264, 27 Cr. (de *λαός* voce): *Ἡσίοδος δὲ παρὰ τὸ 'ἀλές' τὸ σημαῖνον τὸ ἀθροῦν, ἀλαός, λαός ἀφαιρέσει τοῦ ᾱ*

116 (142)

Ἰλέα, τόν ῥ' ἐφίλησε ἄναξ Διὸς υἱὸς Ἀπόλλων·
καί οἱ τοῦτ' ὀνόμην' ὄνομ' ἔμμεναι, οὕνεκα νύμφην
εὑρόμενος ἵλεων μείχθη ἐρατῇ φιλότητι
ἤματι τῷ, ὅτε τεῖχος ἐυδμήτοιο πόληος
ὑψηλὸν ποίησε Ποσειδάων καὶ Ἀπόλλων

1—5 Et. gen. et Gud. (cf. Reitzenstein Gesch. d. gr. Etym. 161, 4), v. Et. mag. v. *Ἰλεύς* et Angel. 135 (Ritschl Op. I 687) *Σελεύκου· Ἰλεύς· ὁ Αἴαντος πατήρ· ἐτυμολογεῖται ὑφ' Ἡσιόδου· 'Ἰλέα — Ἀπόλλων'. ταῦτα παρατίθεται ἐν δ' Σιμωνίδου* cf. Anecd. Ox. II 451, 12 Cr.

Tzetzes Schol. in Exeg. Iliad. 126, 26 H. *φησὶ γὰρ ὁ ἀνὴρ (Ἡσίοδος) ἐν τῇ ἡρωικῇ γενεαλογίᾳ ταυτί· 'Ἰλέα — Ἀπόλλων'*

1—3 Eustathius Hom. 650, 46 *Ἡσίοδος . . . καὶ ὅπου δὲ τὸν παρὰ τοῖς ἄλλοις Ὀιλέα τετρασυλλάβως καλούμενον Ἰλέα τρισυλλάβως αὐτὸν λέγειν ἐθέλων φησὶν οὕτως αὐτὸν κληθῆναι 'οὕνεκα — φιλότητι'*

116, 1 *Π* 804 *ἄναξ Διὸς υἱὸς Ἀπόλλων** 4 *Β* 351 *ἤματι τῷ, ὅτε** *Φ* 516 *τεῖχος ἐυδμήτοιο πόληος**

116, 1 Fragm. Orph. 148 A. *Ἑβδόμη, ἣν ἐφίλησεν ἄναξ ἑκάεργος Ἀπόλλων* 4 sq. Colluth. 289 sq. A. *ὧν τὰ μὲν ἡμετέρης δωμήσατο τείχεα πάτρης, | τείχεα μὴ πίπτοντα Ποσειδάων καὶ Ἀπόλλων*

---

3 huic fragmento (*λᾶας* coniecturam retinens) versum *ἐκ δὲ λίθων ἐγένοντο βροτοί, λαοὶ δὲ καλεῦντο* (cf. schol. Pind. Ol. IX 68) adiungendum esse censuit Bergk Op. II 281 *Ἡσίοδος*] in Anecd. Ox. falsum visum Bergkio Op. II 282, qui *Ἡρωδιανός* scribi iussit

116 2—5 om. Et. gen. cod. B 2 *οἱ*] Etymologica, *τοι* Anecd. Ox., *μιν* schol. Exeg. Il. Tzetzae, *ἶν* (*ἵν*) Leutsch Hall. Literaturz. 1831 Oct. n. 189 p. 227 *ὀνόμην'*] om. Et. gen. cod. A *ὄνομ'*] excidit in Anecd. Ox. 3 *εὑρόμενος*] Fischer ad Weller. Gramm. III 1 p. 95, *εὑράμενος* auctores omnes *ἵλεων*] *ἵλεον* Nauckii exemplum (Hom. *Ι* 639 *Τ* 178) secutus Sittl ed. 597; *ἰλέων* Tzetzae schol. Anecd. Ox. *μείχθη ἐρατῇ*] *ὄχθη ἐρατεινῇ* Et. Gudiani cod. d (Barber. I 70 s. XI) Et. Angel., *μίγη* Tzetzae schol., *μίχθη ἐ.* libri cett. *ἐρατῇ*] *ἐρανῇ* Tzetzae schol. Anecd. Ox. 4 sq. om. Et. mag. 4 *τεῖχος* — 5 *ποίησε*] *τοῖχος ἐυδμήτοις πόλησε ὑψηλόν* Et. Angel. 4 *ἐυδμήτοιο* — 5 *Ἀπόλλων*] desunt in Et. gen. cod. A

1 Schol. Ven. A (Herodiani) Hom. *Α* 264 (I 40, 22 D.) *Καινέα τ' Ἐξάδιόν τε· παρὰ τῷ ποιητῇ ἀπὸ τοῦ ε̄ τὸ ὄνομα ἤρξατο, παρὰ δὲ τοῖς νεωτέροις καὶ χωρὶς τοῦ ε̄ εὑρέθη, ὡς καὶ Ὀϊλεὺς μὲν παρὰ τῷ ποιητῇ καὶ ⟨Ἰλεὺς δὲ⟩ παρ' Ἡσιόδῳ*

Schol. Townl. Hom. *Ο* 336 (VI 127, 29 M.) *Ὀιλέα Ζηνόδοτος ἑπόμενος Ἡσιόδῳ καὶ Στησιχόρῳ χωρὶς τοῦ ο̄ ὀνομάζει Ἰλέα* (cf. Schol. Ven. A Hom. *Ν* 203 = II 12, 14 D.)

Schol. Ven. B Hom. *Β* 527 (III 139, 20 D.) *ψιλωτέον Ὀιλῆος· οὐ γάρ ἐστιν ἄρθρον· ὁ δὲ Ἡσίοδος διχῶς*

Schol. Pind. Ol. IX 167 (II 1, 231 B.) *ἄνευ δὲ τοῦ ο̄ εἴρηκε τὸν Ἰλέα, ὥς πού φησι καὶ Ἡσίοδος*

Eustathius Hom. 101, 19 *ὅτι ὡς τὸ Ὀιλεὺς Ἰλεὺς εὕρηται παρά τε Ἡσιόδῳ καὶ ἄλλοις ἀφαιρέσει τῆς ἀρχούσης, οὕτω καὶ ὁ παρ' Ὁμήρῳ Ἐξάδιος παρά τισι τῶν νεωτέρων Ξάδιος εὕρηται*

idem Hom. 1018, 59 *ὅτι δὲ τὸ Ὀιλεὺς δίχα τοῦ ἐν ἀρχῇ ο̄ προφέρουσί τινες, ἤδη δεδήλωται. φασὶ δὲ οἱ παλαιοί, ὅτι Στησίχορος καὶ Ἡσίοδος τὴν τοιαύτην οἴδασι προφοράν*

idem Hom. 277, 2 *Ἡσίοδος δέ, φασι, καὶ Στησίχορος διχῶς αὐτὸ προάγει· οὐ γὰρ μόνον τρισυλλάβως Ὀιλεύς, ἀλλὰ καὶ δισυλλάβως Ἰλεύς*

Tzetzes Exeg. Iliad. p. 4, 9 H. *καὶ ἕτεροι δὲ πλεῖστοι ὥσπερ καὶ Ποσειδώνιος ὁ Ἀπολλωνιάτης ὁ τῷ Ἡσιόδῳ μέμψιν ἐπάγων, ὡς παραφθείραντί τινας τῶν Ὁμήρου λέξεων τὸν Ὀιλέα 'Ἰλέα' εἰπόντι καὶ τὸν νήδυμον 'ἥδυμον' καὶ ἄλλα ἄττα τοιαῦτα τῆς Ὁμηρικῆς ἐπεμελήθησαν ἐξηγήσεως*

4 sq. Aristides XXVII 18 (II 130, 3 K.) *εἰ δὲ ἔτυχον περιόντες Ὅμηρος καὶ Ἡσίοδος, ῥᾳδίως ἄν μοι δοκοῦσιν εἰπεῖν τὸ περὶ τοῦ τείχους τοῦ Τρωικοῦ μυθολόγημα μεταθέντες, ὡς ἄρα Ποσειδῶν καὶ Ἀπόλλων κοινῇ φιλοτεχνήσαντες ἀπειργάσαντο τὸ ἔργον τῇ πόλει, ὁ μὲν τὴν πέτραν παρασχὼν ἐκ τοῦ βυθοῦ τῆς θαλάττης καὶ ἅμα ποιήσας δυνατὴν εἶναι κομισθῆναι, ὁ δ' ὥσπερ εἰκὸς οἰκιστήν, βουληθεὶς τὴν ἑαυτοῦ πόλιν κοσμῆσαι προσθήκῃ τηλικαύτῃ*

Tzetzes in Lycophr. 393 (II 576 M.) *καὶ Ἡσίοδος ἐν τῇ ἡρωικῇ γενεαλογίᾳ· 'ἤματι — Ἀπόλλων' μυθικῶς*

117 (143)

Ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέεν οὐδὲ κατέκλα,

117, 1 *Υ* 227 (*ἵπποι*) *ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον οὐδὲ κατέκλων*

---

117 Maxim. 422 sqq. (= Fragm. Orph. 18 A.) *Ἰφίκλοιο θοώτερος, . . | ὅς τε καὶ ἀνθερίκοισιν* (*ἀνθερίκεσσιν* Tzetzes Chil. II 611 Exeg. Il. p. 26, 2 H.)

---

117 1 *καρπὸν*] Et. mag., *καρπῶν* Eustathius

ἀλλ' ἐπὶ πυραμίνων ἀθέρων δρομάασκε πόδεσσι
κοὺ σινέσκετο καρπόν

1—3 Eustathius Hom. 323, 42 *εἷς τῶν Αἰολιδῶν, Φύλακος κτίσας πόλιν Φυλάκην ὠνόμασεν, οὗ Ἴφικλος, οὗ Φύλακος, οὗ Ποίας καὶ Ἴφικλος, ὧν Ποίαντος μὲν καὶ Μεθώνης Φιλοκτήτης, Ἰφίκλου δὲ καὶ Ἀστυόχης Πρωτεσίλαος καὶ Ποδάρκης. ἐνταῦθα δὲ ζητητέον, ποῖος ἦν ὁ ποδωκέστατος κατὰ τὴν ἱστορίαν Ἴφικλος, περὶ οὗ δηλῶν Ἡσίοδος, ὅτι ταχυτῆτι διήνεγκεν, οὐκ ὤκνησεν ἐπ' αὐτοῦ ταύτην εἰπεῖν τὴν ὑπερβολὴν 'ἄκρον — καρπόν'*

Schol. Harl. Ambr. Hom. *λ* 326 (II 507, 24 D.) *Κλυμένη Μινύου τοῦ Ποσειδῶνος καὶ Εὐρυανάσσης τῆς Ὑπέρφαντος γαμηθεῖσα Φυλάκῳ τῷ Δηίονος Ἴφικλον τίκτει ποδώκη παῖδα. τοῦτον λέγεται διὰ τὴν τῶν ποδῶν ἀρετὴν συναμιλλᾶσθαι τοῖς ἀνέμοις ἐπί τε τῶν ἀσταχύων διέρχεσθαι, καὶ διὰ τοῦ τάχους τὴν κουφότητα μὴ περικλᾶν τοὺς ἀθέρας. . . . . ἡ δὲ ἱστορία παρ' Ἡσιόδῳ*

unde Eustathius Hom. 1689, 2 *ὃν (Ἴφικλον) φασὶ διὰ τὴν τῶν ποδῶν ἀρετὴν καὶ ἀνέμοις ἁμιλλᾶσθαι καὶ ἐπ' ἄκρων ἀνθερίκων θέειν καὶ μὴ κατακλᾶν αὐτούς*

Schol. Laur. Apoll. Rhod. Arg. *Α* 45 (p. 305, 25 K.) *τὸν δὲ Ἴφικλον Ἡσίοδος ἐπὶ πυρίνους ἀθέρας τρέχειν φησίν, Δημάρατος δὲ ἐπὶ τῆς θαλάσσης*

Eustathius Hom. 1206, 7 *οἱ δὲ ἀνθερίκους ἐπὶ τοῦ σίτου φασίν ἀκολουθοῦντες Ἡσιόδῳ εἰπόντι περὶ Ἰφίκλου τοῦ καὶ ἐν Βοιωτίᾳ ῥηθέντος ὅτι ἐπὶ πυραμίνους ἀθέρας ἐκεῖνος ἔθεε*

2 Schol. Townl. et Ven. B Hom. *Υ* 227 (VI 320, 34 M. et IV 240, 16 D.) *ἀνθερίκων*] . . *οἱ δὲ τοὺς ἀθέρας τοῦ σίτου φασίν, ὡς καὶ Ἡσίοδος ἐκλαβὼν ἐπὶ Ἰφίκλου φησὶν 'ὅς ῥ' ἐπὶ — φοίτασκε πόδεσσιν'*

ἐπέτρεχεν οὐδέ τι καρπὸν | σίνετ' ἀήσυρα γυῖα φέρων ἐπὶ λήιον ἄκρον (Wakefield, *αὖον* Maximi et Tzetzae codd.) Nonn. Dion. XXVIII 284 sqq. *εἰς δρόμον Ἰφίκλῳ πανομοίιος, ὅς τις ἐπείγων | ταρσὰ ποδῶν ἀβάτοιο κατέγραφεν ἄκρα γαλήνης | καὶ σταχύων ἐφύπερθε μετάρσιον εἶχε πορείην | ἀνθερίκων πάτον* (Ludwich, *στρατὸν* codd.) *ἄκρον ἀκαμπέα ποσσὶν ὁδεύων* cf. Vergil. Aen. VII 808 *illa* (Camilla) *vel infractae segetis per summa volaret | gramina nec teneras cursu laesisset aristas*

---

2 *ἀλλ'*] *ὅς ῥ'* schol. Townl. Hom., om. schol. Ven. B *πυραμίνων — δρομάασκε*] *πυραμίνους ἀθέρας φοίτασκε* schol. Hom. Townl. et Ven. B 3 verba in principio versus collocavit Ruhnken Op. II 504 (*καὶ οὐ* retinens); *κοὐ* O. Rossbach JbfPh. 1891 p. 83; *καὶ οὐ — καρπόν* Eustathius, quibus verbis in altero hemistichio sedem assignavit Heinsius ed. (1603) 317 (. . . . . *καὶ οὐ σίνεσκετο καρπόν*) *τάχους* in schol. Hom. *λ* 326] *πάθους* cod. Ambr., *πάτου* dubitans Kinkel Epic. gr. fragm. I 134

118 (144)

Ἡ δὲ Θόαν τέκεν υἱόν

Choeroboscus I 123, 22 H. ἔτι δεῖ παραφυλάξασθαί τινα παρὰ τοῖς ποιηταῖς πάντα ἔχοντα τοῦ κανόνος καὶ ἰσοσυλλάβως κλιθέντα, οἷον ὁ Βίας τοῦ Βία, ὁ Δρύας τοῦ Δρύα, ὁ Θόας τοῦ Θόα, ὡς παρ' Ἡσιόδῳ 'ἡ δὲ — υἱόν', ὁ Αἴας τοῦ Αἴα ὡς παρὰ Ἀλκαίῳ 'Αἴαν τὸν ἄριστον'

119 (146)

Schol. Theocrit. XVI 49 (II 411, 9 A.) Ἡσίοδος δέ φησιν αὐτὸν (τὸν Κύκνον) τὴν κεφαλὴν ἔχειν λευκήν· διὸ καὶ ταύτης τῆς κλήσεως (θῆλυς) ἔτυχεν

120 (145)

Schol. Harl. Ambr. Hom. ι 198 (II 421, 33 D.) ταῦτα σημειοῦνταί τινες πρὸς τὸ μὴ παραδιδόναι Ὅμηρον Διόνυσον οἴνου εὑρετήν, τὸν δὲ Μάρωνα οὐ Διονύσου, ἀλλ' Ἀπόλλωνος ἱερέα . . ἡ δ' ἀπότασις πρὸς Ἡσίοδον λέγοντα τὸν Μάρωνα εἶναι Οἰνοπίωνος τοῦ Διονύσου

Eustathius Hom. 1623, 44 aliter τὸν δὲ Μάρωνα, οὗ καὶ δοκεῖ παρώνυμος εἶναι ἡ κατὰ Θρᾴκην Μαρώνεια, καὶ ἱερῷ ἐτίμησαν οἱ ἐγχώριοι. οὗ τὸν πατέρα Εὐάνθην Ἡσίοδος Οἰνοπίωνός, φασιν, ἱστορεῖ υἱοῦ Διονύσου

121 (157)

Οἷα Διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἄχθος.
ὅς τις ἄδην πίνῃ, οἶνος δέ οἱ ἔπλετο μάργος,
σὺν δὲ πόδας χεῖράς τε δέει γλῶσσάν τε νόον τε
δεσμοῖς ἀφράστοισι· φιλεῖ δέ ἑ μαλθακὸς ὕπνος

Athenaeus X 428 b. c (II 431, 15 K.) διὸ καὶ Ἡσίοδος ἐν ταῖς Ἠοίαις εἶπεν 'οἷα — ὕπνος'

121, 1 = Pseudohes. Scut. 400 2 sq. Theogn. 479 sq. ὅς δ' ἄν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκέτι κεῖνος | τῆς αὐτοῦ γλώσσης καρτερὸς οὐδὲ νόου 4 cf. Theogn. 469 sq. ὅν τιν' ἄν ἡμέων | θωρηχθέντ' οἴνῳ μαλθακὸς ὕπνος ἕλῃ

---

120 Μάρωνα] ⟨Εὐάνθους τοῦ⟩ addit Sittl Wien. St. XII 61 adn. 101 φασιν] φασιν ἱερὸν Eustathius, ἱερὸν delet Sittl l. c.; ἱερέα (om. φασίν) Marckscheffel l. c. 332

121, 1 ἄχθος] e Scut. 400 correxit Ruhnken Op. II 593, ἔχθος codd. AC 2 ὅς τις ἄδην] ὅς τ' ἀνέδην Peppmüller Variat. i. pseudohes. Herakles-schild 33 adn. 4 πίνῃ] πίνοι cod. C οἶνος δέ οἱ] οἴνοιό τε O. Schneider ZfdAw. 1840 c. 586, οἴνοιο δέ τ' Peppmüller l. c. μάργος] μάργον dubitans Peppmüller l. c. 4 ἀφράστοισι· φιλεῖ] an ἀφράστοις· φιλέει?

122 (147)

Ἢ οἵη Διδύμους ἱεροὺς ναίουσα κολωνοὺς
Δωτίῳ ἐν πεδίῳ πολυβότρυος ἄντ' Ἀμύροιο
νίψατο Βοιβιάδος λίμνης πόδα παρθένος ἀδμής

1—3 Strabo IX p. 442 *τοῦτο (τὸ Δώτιον πεδίον) δ' ἐστὶ πλησίον τῆς ἄρτι λεχθείσης Περραιβίας καὶ τῆς Ὄσσης καὶ ἔτι τῆς Βοιβηίδος λίμνης, ἐν μέσῃ μέν πως τῇ Θετταλίᾳ λόφοις δὲ διδύμοις περικλειόμενον, περὶ οὗ Ἡσίοδος οὕτως εἴρηκεν 'ἢ — ἀδμής'*
idem XIV p. 647 *δοκοῦσι δ' εἶναι Μάγνητες Δελφῶν ἀπόγονοι τῶν ἐποικησάντων τὰ Δίδυμα ὄρη ἐν Θετταλίᾳ, περὶ ὧν φησιν Ἡσίοδος 'ἢ — ἀδμής'*
cf. Schol. Pind. Pyth. III 59 (II 1, 332 B.) *ἐπειδὴ ἡ παρθένος Κορωνὶς ᾤκει παρὰ ταῖς ὄχθαις τῆς Βοιβιάδος λίμνης· ἡ δὲ Βοιβιὰς λίμνη παρακειμένη τῇ Λακερείᾳ. ὅτι δὲ ἡ Κορωνὶς ἐν Λακερείᾳ ᾤκει πρὸς ταῖς πηγαῖς τοῦ Ἀμύρου, Φερεκύδης ἐν πρώτῃ ἱστορεῖ, ἔνθα καὶ περὶ τοῦ κόρακος διηγεῖται καὶ ὅτι Ἄρτεμιν ἔπεμψεν ὁ Ἀπόλλων, ἣ πολλὰς ἅμα γυναῖκας ἀπέκτεινε, καὶ ὡς τὸν Ἴσχυν ὁ Ἀπόλλων κτείνει, τὸν δὲ Ἀσκληπιὸν δίδωσι Χίρωνι*
2 Stephanus Byz. v. *Ἄμυρος· πόλις Θεσσαλίας· ἄδηλον δὲ τὸ Ἡσιόδειον 'Δωτίῳ — Ἀμύροιο'*

123 (148)

Τῷ μὲν ἄρ' ἄγγελος ἦλθε κόραξ ἱερῆς ἀπὸ δαιτὸς
Πυθὼ ἐς ἠγαθέην, φράσσεν δ' ἄρα ἔργ' ἀίδηλα

122, 3 ζ 109 *παρθένος ἀδμής**
123, 1 Ω 561 *μοι ἄγγελος ἦλθε* 2 θ 80 *Πυθοῖ ἐν ἠγαθέῃ** E 757 v. l. *ἔργ' ἀίδηλα** (sic 'ἄλλοι' teste Didymo, *καρτερὰ ἔργα* Aristarchus)

122, 2 Hymn. Hom. XVI 3 *Δωτίῳ ἐν πεδίῳ** 3 Pind. Pyth. III 33 (60) *ἐπεὶ παρὰ Βοιβιάδος κρημνοῖσιν ᾤκει παρθένος (Κορωνίς)*
123, 1 sqq. cf. Callim. Hecal. Fragm. Vindob. c. IV 6—8 (p. 12 G.) . . . *ἀγγελίης ἐπίχε⟨ι⟩ρα, τά οἱ (κόρακι) ποτε Φοῖβος ὀπάσσει, | ὀππότε ⟨κ⟩εν Φλεγύαο Κορωνίδος ἀμφὶ θυγατρὸς | Ἴσχυι πληξίππῳ σπομένης μιερόν τ⟨ι⟩ πύθηται* 2 Orac. ed. Hendess 32, 2 *Πυθώ τ' ἠγαθέην**

---

122 de hoc et proximis fragmentis cf Wilamowitz Isyll. 57 sq. 1 *ἱεροὺς — κολωνοὺς*] *ὄχθους ναίουσα Κορωνὶς* Meineke Vindic. Strab. 160 sq. 2 *ἄντ' Ἀμύροιο*] *αὐταμύροιο* Stephani cod. 3 *πόδα*] *χρόα* Koechly Op. I 232 *διδύμοις*] in Strabonis verbis Kirchhoff Herm. I 420, *ἰδίοις* libri
123, 2 *Πυθὼ*] *Πυθό'* Nauck MGrR. V 134 *φράσσεν δ' ἄρα*] schol. Pind. Pyth. III 14 (*φράσε δάρα* Paris. 2403, *φράσε δ' ἄρ* Vindob. 130, *φράσα δ' ἄρα* Paris. 2774); *καί ῥ' ἔφρασεν* schol. Pind. Pyth. III 48

Φοίβῳ ἀκερσεκόμῃ, ὅτι Ἴσχυς ἔγημε Κόρωνιν
Εἰλατίδης, Φλεγύαο διογνήτοιο θύγατρα

Schol. Pind. Pyth. III 48 (II 1, 331 B.) *ἱστορεῖται γάρ, ὅτι τὴν Ἴσχυος μῖξιν ἐδήλωσεν αὐτῷ* (Apollini) *ὁ κόραξ· παρὸ καὶ δυσχεράναντα ἐπὶ τῇ ἀγγελίᾳ τὸν Ἀπόλλωνα ἀντὶ λευκοῦ μέλανα αὐτὸν ποιῆσαι . . . τὸν δὲ περὶ τὸν κόρακα μῦθόν φησι (Ἀρτέμων) καὶ Ἡσίοδον μνημονεύοντα λέγειν οὕτω 'τῷ — θύγατρα'*

Schol. Pind. Pyth. III 14 (II 1, 328 B.) *ἐν δὲ τοῖς εἰς Ἡσίοδον ἀναφερομένοις ἔπεσι φέρεται ταῦτα περὶ τῆς Κορωνίδος· 'τῷ μὲν ἄρ' ἦλθε κόραξ' . . . 'φράσσεν — θύγατρα'*

124 (108)

Schol. Pind. Pyth. IV 181 (II 4, 356 B.) *ὁ δὲ Ἡσίοδος Ναΐδα φησὶ τὸν Χίρωνα γῆμαι*

125 (109)

Πατὴρ δ' ἀνδρῶν τε θεῶν τε
χώσατ', ἀπ' Οὐλύμπου δὲ βαλὼν ψολόεντι κεραυνῷ
ἔκτανε Λητοΐδην, Φοίβῳ σὺν θυμὸν ὀρίνων

Athenagoras lib. pro Christ. 29 (p. 39, 6 Schw.) *περὶ δὲ Ἀσκληπιοῦ Ἡσίοδος μὲν 'πατὴρ — ὀρίνων'*

Philodemus *περὶ εὐσεβ.* 17 (tab. 45 b 5) G. *τὸν Ἀσκλ⟨ηπιὸν δ' ὑ⟩πὸ Διὸς κε⟨ραυνω⟩θῆναι γέγρ⟨αφεν Ἡ⟩σίοδος κ⟨αὶ Πίνδ⟩αρὸς? καὶ Φε⟨ρεκύδης⟩ ὁ Ἀθηναῖος ⟨καὶ Πανύ⟩ασσις? καὶ Ἀ . . . . καὶ Ἀκουσ⟨ίλαος*

---

3 *Τ* 39 *Φοῖβος ἀκερσεκόμης**
125, 1 *Α* 544 *πατὴρ ἀνδρῶν τε θεῶν τε** 2 *ψ* 330 *ἔβαλε ψολόεντι κεραυνῷ** 3 *Ω* 467 *ἵνα οἱ σὺν θυμὸν ὀρίνῃς**

---

3 sq. Hymn. Hom. Apoll. Pyth. 31 sq. . . *ὅππως μνωόμενος ἔκιες Ἀζανίδα κούρην | Ἴσχυ' ἅμ' ἀντιθέῳ, Ἐλατιονίδῃ εὐίππῳ* Hymn. Hom. XVI 2 sq. *δῖα Κορωνίς . . κούρη Φλεγύου βασιλῆος*

---

3 *ὅτι Ἴσχυς*] Marckscheffel l. c. 335 (*ὅτι Ϝίσχυς* Flach d. hes. Ged. XIX); *ὅτ' ἴσχυς* Paris. 2774 schol. ad v. 14, *ὅττ' ἴσχυς* Vat. B schol. ad v. 48; *ὅτ' ἄρ'* codd. cett. *ἔγημε*] *γῆμε* schol. ad v. 48, Vindob. gr. 130 scholii ad v. 14 *Κόρωνιν*] *κορώνην* Vat. B, *κορωνίν* Vindob. 4 *Εἰλατίδης*] *Ἐλατίδης* Sittl ed. 587 *Φλεγύαο*] *φλεγυίαο* Vindob. utroque l., *φλεγύα* Paris. 2774 scholii ad v. 14 Vatic. B Paris. 2403, 2774 scholii ad v. 48

125, 1 *πατὴρ δ'*] *δ'* addidit Marckscheffel l. c. 317 3 *ἔκτανε Λητοΐδην, Φοίβῳ σὺν*] Wilamowitz Isyll. 64 adn. 37, *ἔκτανε Λητοΐδην, φίλον σὺν* cod. A (Paris. 451 anni 914), *ἔκτανε Λητοΐδην ὀλοὸν σὺν* Koechly Op. I 232; *ἔκτανε Λητοΐδην φίλον υἱέι* conieci in ed.[1] 177; *Λητοΐδην ἔκτεινε, φίλον σὺν* dubitans Goettling ed.[1] 212; *ἔκτανε Λητοΐδαο φίλον σὺν* Kiesel de hymn. in Apoll. Hom. 126, *ἔκτανε Λητοΐδεω φίλον υἱὸν* Goettling ed.[2] 396; *ἔκτανε, Λητοΐδῃ δὲ φίλον σὺν θυμὸν ὄρινεν* Isler Quaest. Hes. spec. 11

126 (110)

Philodemus *περὶ εὐσεβ.* 34 (tab. 63, 1) G. *Ἄν>δρων δ' ἐ<ν τοῖς> Συγγενικοῖς Ἀ<δμή>τῳ λέγει τὸν Ἀ<πόλ>λω θητεῦσαι Δ<ιὸς> ἐπιτάξαντος· Ἡ>σίοδος δὲ καὶ Ἀκο<υσ>ίλαος μέλλειν <μὲν> εἰς τὸν Τάρταρον <ὑ>πὸ τοῦ Διὸς ἐ<μβλη>θῆναι, τῆς Λ<ητοῦς δ'> ἱκετε(ο)υσά<σης ἀν>δρὶ θητ<εῦσαι*

127 (112)

Schol. Eurip. Alc. 1 (II 216, 4 Schw.) *ἡ διὰ στόματος καὶ δημώδης ἱστορία περὶ τῆς Ἀπόλλωνος θητείας παρ' Ἀδμήτῳ αὕτη ἐστίν, ᾗ κέχρηται νῦν Εὐριπίδης. οὕτως δέ φησι καὶ Ἡσίοδος καὶ Ἀσκληπιάδης ἐν Τραγῳδουμένοις*

128 (149)

Ἠ οἵη Φθίῃ Χαρίτων ἄπο κάλλος ἔχουσα
Πηνειοῦ παρ' ὕδωρ καλὴ ναίεσκε Κυρήνη

Schol. Pind. Pyth. IX 6 (II 1, 401 B.) *ἀπὸ δὲ Ἠοίας Ἡσιόδου τὴν ἱστορίαν ἔλαβεν ὁ Πίνδαρος, ἧς ἡ ἀρχή· 'ἢ — Κυρήνη'*

129 (150)

Servius in Vergil. Georg. I 14 (III 1, 134 Th.-H.) *Aristaeum invocat i. e. Apollinis et Cyrenes filium, quem Hesiodus dicit Apollinem pastoralem*

cf. Schol. Bern. p. 845 H.

130 (151)

Schol. Bern. Vergil. Georg. IV 361 '*at illum | curvata in montis faciem circumstetit unda*'. *hunc versum ex Hesiodi gynecon transtulit*

128, 1 ζ 18 *Χαρίτων ἄπο κάλλος ἔχουσαι**
130 λ 243 *πορφύρεον δ' ἄρα κῦμα περιστάθη οὔρεϊ ἶσον | κυρτωθέν*

---

129 cf. Pind. Pyth. IX 64 . . *ἀγνὸν Ἀπόλλων', ἀνδράσι χάρμα φίλοις, ἄγχιστον ὀπάονα μήλων | Ἀγρέα καὶ Νόμιον, τοῖς δ' Ἀρισταῖον καλεῖν* Apoll. Rhod. Arg. *Β* 506 sq. (de Cyrene) *ἔνθα δ' Ἀρισταῖον Φοίβῳ τέκεν, | ὃν καλέουσιν | Ἀγρέα καὶ Νόμιον πολυλήιοι Αἱμονιῆες*
130 Vergil. Georg. IV 361 *at illum | curvata in montis faciem circumstetit unda*

128, 1 *ἢ — Φθίῃ*] *ἠοίη φθίη* codd.
130 ad Hom. λ 243 pertinere censet Sittl Wien. St. XII 48 *ex — gynecon*] an '*ex . . gynecon catalogo*'?

131 (158)

Philodemus *περὶ εὐσεβ.* 60 G. (tab. 147, 1—3) *⟨Στησίχορ⟩ος? Ἀκταίωνι καὶ ⟨Ἀλκμά⟩ν, καὶ καθάπερ . . . ἐν Ἠοία⟨ις . .*

132 (153)

Ἢ οἵην Ὑρίη Βοιωτίη ἔτρεφε κούρην

Schol. Ven. A Hom. *B* 496 (I 114, 11 D.) *οἵ θ' Ὑρίην] οὐ παρέλαβον σύνδεσμον τὸν τέ, ἀλλ' ὄντως παρέλαβον Θυρίαν τὴν πόλιν, οὐκ εὖ δέ. ἀπὸ γὰρ Ὑριέως καὶ ἡ Ὑρία οὕτως ὀφείλει ἔχειν τὸν τοῦ* $\bar{υ}$ *φθόγγον. μαρτυρεῖ καὶ Ἡσίοδος λέγων 'ἣ — κούρην'*

Et. gen. v. *Ὑρίην· καὶ Ἡσίοδος 'Οὐρίη — κούρη'*

Eustathius Hom. 265, 4 *οἱ δ' αὐτοὶ παράγουσι καὶ χρῆσιν Ἡσιόδου ταύτην βοηθοῦσαν τῇ δίχα τοῦ* $\bar{θ}$ *γραφῇ* (i. e. *θ' Ὑρίην*)*· 'ἣν δίη — κούρην'*

Stephanus Byz. v. *Ὑρία· Ἡσίοδος δ' ἐν Ὑρίᾳ τὴν Ἀντιόπην φησὶ γενέσθαι*

133 (60)

Palaephatus c. 42 *περὶ Ζήθου καὶ Ἀμφίονος· ἱστοροῦσιν ἄλλοι τε καὶ Ἡσίοδος, ὅτι κιθάρᾳ τὸ τεῖχος τῶν Θηβῶν ἐτείχισαν*

134 (156)

Ἔστι τις Ἑλλοπίη πολυλήιος ἠδ' εὐλείμων
ἀφνειὴ μήλοισι καὶ εἰλιπόδεσσι βόεσσιν·
ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται
πολλοὶ ἀπειρέσιοι, φῦλα θνητῶν ἀνθρώπων·
ἔνθα δὲ Δωδώνη τις ἐπ' ἐσχατιῇ πεπόλισται·

134, 1 cf. *δ* 607 *ἱππήλατος οὐδ' εὐλείμων** 2 *Π* 488 *ἐν εἰλιπόδεσσι βόεσσιν** 3 = *I* 154 3 sq. *τ* 173 sq. *ἐν δ' ἄνθρωποι | πολλοὶ ἀπειρέσιοι** 4 *γ* 282 *φῦλ' ἀνθρώπων* *Υ* 204 *θνητῶν ἀνθρώπων**

134, 2 Vers. Pseudohesiod. ap. Diodor. V 66, 6 [Oper. 120] *ἀφνειοὶ μήλοισι** Incert. Ed. IX ('Theocr. XXV') 119 *ἀφνειὸν μήλοις* 4 Hymn. Hom. Merc. 578 *φῦλα θνητῶν ἀνθρώπων**

---

131 e mutilata Philodemi narratione in Eoeis Actaeonis mentionem esse factam colligitur

132 *ἢ οἵην] ἢ δίη* cod. Ven. A schol. Hom., corr. Heyne ad Hom. *B* 496; om. Et. gen.; *ἣν δίη* Eustathius *Ὑρίη] οὐρίη* Et. gen. (cod. A unicus) *Βοιωτίη ἔτρεφε]* Bekker in ed. schol.; *βοιωτίη τράφε* Et. gen., *βοιωτίης τρέφε* schol. cod. Ven. A Eustathius *κούρην] κούρη* Et. gen.

134, 1 *Ἑλλοπίη] ἑλλοπίη* schol. Laur. *εὐλείμων] εὐλείμων* cod. Laur. 4 *ἀπειρέσιοι] ἀπειρέσια* dubitans Sittl ed. 570; post hanc vocem versum intercidisse existimavit Schneidewin Gött. Gel. Anz. 1842 I 525 5 *δὲ]* om. schol. Laur., *τε* in schol. Brunck

τὴν δὲ Ζεὺς ἐφίλησε καὶ ὃν χρηστήριον εἶναι
τίμιον ἀνθρώποις . . . . .
. . . . . ναῖον δ' ἐν πυθμένι φηγοῦ·
ἔνθεν ἐπιχθόνιοι μαντήια πάντα φέρονται,
ὃς δὴ κεῖθι μολὼν θεὸν ἄμβροτον ἐξερεείνῃ
δῶρα φέρων τ' ἔλθῃσι σὺν οἰωνοῖς ἀγαθοῖσιν

1—11 Schol. Soph. Trach. 1167 (p. 344, 1 P.) *ἔνιοι δὲ χωρὶς τοῦ σ γράφουσι (τὸ Σελλῶν) Ἑλλοὺς ἀποδεχόμενοι καὶ Ἑλλοπίαν τὴν Δωδώνην νομίζουσιν εἶναι· τὴν γὰρ χώραν οὕτως Ἡσίοδος ὀνομάζει ἐν Ἠοίαις λέγων οὕτως 'ἔστι — ἀγαθοῖσιν'*

1. 5 Strabo VII p. 328 *Φιλόχορος δέ φησι καὶ τὸν περὶ Δωδώνην τόπον, ὥς περ τὴν Εὔβοιαν, Ἑλλοπίαν κληθῆναι· καὶ γὰρ Ἡσίοδον οὕτω λέγειν· 'ἔστι — ἐυλείμων'. 'ἔνθα δὲ — πεπόλισται'*

135 (166)

Pausanias X 31, 3 (2) *ἐς δὲ τοῦ Μελεάγρου τὴν τελευτὴν Ὁμήρῳ μέν ἐστιν εἰρημένα, ὡς ἡ Ἐρινὺς καταρῶν ἀκούσαι τῶν Ἀλθαίας καὶ ἀποθάνοι κατὰ ταύτην ὁ Μελέαγρος τὴν αἰτίαν. αἱ δὲ Ἠοῖαί τε καλούμεναι καὶ ἡ Μινυὰς ὡμολογήκασιν ἀλλήλαις· Ἀπόλλωνα γὰρ δὴ αὗταί φασιν αἱ ποιήσεις ἀμῦναι Κούρησιν ἐπὶ τοὺς Αἰτωλούς, καὶ ἀποθανεῖν Μελέαγρον ὑπὸ Ἀπόλλωνος*

136 (175)

Argumentum Scuti *A* 1 *τῆς Ἀσπίδος ἡ ἀρχὴ ἐν τῷ τετάρτῳ Καταλόγῳ φέρεται μέχρι στίχων ν' καὶ ς'*

---

7 Hymn. Hom. Ven. 142 *τίμιον ἀνθρώποισι** 9 sqq. cf. Hymn. Hom. Merc. 543 sqq. *καὶ μὲν ἐμῆς ὀμφῆς ἀπονήσεται, ὅς τις ἂν ἔλθῃ | φωνῇ καὶ πτερύγεσσι τελητέντων οἰωνῶν . . .* 546 *ὃς δέ κε μαψιλόγοισι πιθήσας οἰωνοῖσι | μαντείην ἐθέλῃσι παρὲκ νόον ἐξερεείνειν | ἡμετέρην, νοέειν δὲ θεῶν πλέον αἰὲν ἐόντων, | φήμ', ἁλίην ὁδὸν εἶσιν, ἐγὼ δέ κε δῶρα δεχοίμην*

---

6 *δὲ*] *δὴ* Brunck l. c. *ἐφίλησε καὶ ὃν*] scholiorum cod. Lobkowitzianus, *φίλησε καὶ ὃν* cod. Laur., *ἐθέλησεν ἐὸν* Ruhnken Op. II 592 7 *ἀνθρώποις*] lacunam post hanc vocem subesse ratus est F. S. Lehrs in ed. Didot. 52, post v. 6 Hermann Op. VI 260 8 *ναῖον δ'*] i. e. columbae Dodonaeae; Ruhnkenii coniectura (*ἐθέλησεν ἐὸν*) recepta *ναῖον* participium esse arbitratur Goettling ed.[2] 270; *ναῖεν δ'* (Iuppiter) Valckenaer (cf. Ruhnken l. c.), *ναίει δ'* C. Schenkl in ed. meae[1] p. 192, *ναίων* (si quid exciderit) Sittl ed. 570 9 *ἐπιχθόνιοι*] *ἐπιχθονίοις* Ruhnken l. c. 11 *τ'*] addidit Papageorgius in ed. schol. *ἔλθῃσι*] *ἔλθησι* cod. Lobkowitz., *ἔλθῃ* cod. Laur., *ἔλθῃ δὲ* Hermann Op. VII 274

136 cf. ad Scuti Argum. *A* 2

ΜΕΓΑΛΑΙ ΗΟΙΑΙ

137 (162)

Pausanias II 26, 3 *Ἐπίδαυρος δὲ ἀφ' οὗ τὸ ὄνομα τῇ γῇ ἐτέθη, ὡς μὲν φασιν Ἠλεῖοι, Πέλοπος ἦν· κατὰ δὲ Ἀργείων δόξαν καὶ τὰ ἔπη τὰς μεγάλας Ἠοίας ἦν Ἐπιδαύρῳ πατὴρ Ἄργος ὁ Διός*

138 (159)

Ὦ τέκος, ἦ μάλα δή σε πονηρότατον καὶ ἄριστον
Ζεὺς τέκνωσε πατήρ

Anonymus comm. in Aristot. Eth. Nicom. III 7 (p. 155, 4 H.) *καὶ ὅτι, φασί, τὸ πονηρὸς ἐπὶ τοῦ ἐπιπόνου τάττεται καὶ δυστυχοῦς, ἱκανὸς Ἡσίοδος παραστῆσαι ἐν ταῖς μεγάλαις Ἠοίαις τὴν Ἀλκμήνην ποιῶν πρὸς τὸν Ἡρακλέα λέγουσαν· 'ὦ — πατήρ'*

139 (160)

Μοῖραί σε πονηρότατον καὶ ἄριστον

Anonymus comm. in Aristot. Eth. Nicom. III 7 (p. 155, 7 H.) *καὶ πάλιν αἱ 'Μοῖραι — ἄριστον'*

140 (173)

Schol. Pind. Isthm. VI 53 (p. 452, 5 A.) *οὐ γὰρ ὁ Τελαμὼν ἐκέλευσε τῷ Ἡρακλεῖ ἐμβῆναι τῷ δέρματι καὶ εὔξασθαι, ἀλλ' αὐτὸς ὁ Ἡρακλῆς τοῦτο κατ' ἰδίαν ἔπραξε προαίρεσιν. εἴληπται δὲ ἐκ τῶν μεγάλων Ἠοιῶν ἡ ἱστορία· ἐκεῖ γὰρ εὑρίσκεται ἐπιξενούμενος ὁ Ἡρακλῆς τῷ Τελαμῶνι καὶ ἐμβαίνων τῇ δορᾷ καὶ εὐχόμενος † καὶ οὕτως ὁ διόπομπος αἰετός, ἀφ' οὗ τὴν προσωνυμίαν ἔλαβεν Αἴας*

141 (161)

Pausanias IV 2, 1 *πυθέσθαι δὲ σπουδῇ πάνυ ἐθελήσας οἵ τινες παῖδες Πολυκάονι ἐγένοντο ἐκ Μεσσήνης, ἐπελεξάμην τάς τε Ἠοίας καλουμένας καὶ τὰ ἔπη τὰ Ναυπάκτια, πρὸς δὲ αὐτοῖς ὁπόσα Κιναίθων καὶ Ἄσιος ἐγενεαλόγησαν. οὐ μὴν ἔς γε ταῦτα ἦν σφίσιν οὐδὲν πεποιημένον, ἀλλὰ Ὕλλου μὲν τοῦ Ἡρακλέους θυγατρὶ Εὐαίχμῃ συνοικῆσαι*

138, 1 *τέκος*] Voss Randgl. 81, *τέκνον* Comment. 2 *τέκνωσε*] Voss l. c., cf. Paulson Stud. Hes. I 58, *ἐτέκνωσε* Comment. *Ἠοίαις*] *η* . . . . cod. B (Coislinianus 161 s. XIV)

139 *'τέκνον ἐμόν'* ante *'Μοῖραι'* insertum in ed. Aldina

140 *Ἠοιῶν*] *νυιῶν* B, *νόων* D † *καὶ οὕτως*] *καὶ οὗτος* Boeckh in ed. schol.; quibus verbis omissis lacunae signum posuit Kinkel Epic. Gr. Fragm. I 144

Πολυκάονα υἱὸν Βούτου λεγούσας τὰς μεγάλας οἶδα Ἠοίας, τὰ δὲ ἐς τὸν Μεσσήνης ἄνδρα καὶ τὰ ἐς αὐτὴν Μεσσήνην παρεῖταί σφισιν

142 (154)

Φύλας δ' ὤπυιεν κούρην κλειτοῦ Ἰολάου
Λειπεφίλην· ἣ εἶδος Ὀλυμπιάδεσσιν ὁμοίη
Ἱπποτάδην τέ οἱ υἱὸν ἐνὶ μεγάροισιν ἔτικτε
Θηρώ τ' εὐειδέα, ἰκέλην φαέεσσι σελήνης.
Θηρὼ δ' Ἀπόλλωνος ἐν ἀγκοίνῃσι πεσοῦσα
γείνατο Χαίρωνος κρατερὸν μένος ἱπποδάμοιο

Pausanias IX 40, 5 sq. (3) *Λεβαδέων δὲ ἔχονται Χαιρωνεῖς· ἐκαλεῖτο δὲ ἡ πόλις καὶ τούτοις Ἄρνη τὸ ἀρχαῖον· θυγατέρα δὲ εἶναι λέγουσιν Αἰόλου τὴν Ἄρνην, ἀπὸ δὲ ταύτης κληθῆναι καὶ ἑτέραν ἐν Θεσσαλίᾳ πόλιν· τὸ δὲ νῦν τοῖς Χαιρωνεῦσιν ὄνομα γεγονέναι ἀπὸ Χαίρωνος, ὃν Ἀπόλλωνός φασιν εἶναι, μητέρα δὲ αὐτοῦ Θηρὼ τὴν Φύλαντος εἶναι. μαρτυρεῖ δὲ καὶ ὁ τὰ ἔπη τὰς μεγάλας Ἠοίας ποιήσας 'Φύλας — ἱπποδάμοιο'*

143 (152)

Ἢ οἵη Ὑρίῃ πυκινόφρων Μηκιονίκη,
ἣ τέκεν Εὔφημον γαιηόχῳ Ἐννοσιγαίῳ
μειχθεῖσ' ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης

Schol. Pind. Pyth. IV 35 (II 1, 346 B.) *ὁ δὲ Ἀσκληπιάδης τὰ ἐν ταῖς μεγάλαις Ἠοίαις παρατίθεται 'ἢ — Ἀφροδίτης'*

142, 3 cf. *Ω* 497 *τοὺς δ' ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκες* 6 cf. *Ψ* 837 *Λεοντῆος κρατερὸν μένος ἱπποδάμοιο**
143, 2 *I* 183 *γαιηόχῳ Ἐννοσιγαίῳ**

143, 3 Hymn. Hom. Ven. 1 *πολυχρύσου Ἀφροδίτης**

142, 1 *κλειτοῦ*] *κλεϊτοῦ* Nauck MGrR. III 214 2 *Λειπεφίλην· ἣ*] *λειπεφιλήνη* cod. Mosquensis, *λεῖπε φιλήνη* cod. Paris. 1411, *λεῖπε φιληνὴ* Paris. 1410, *λείπε φιλήνην* Paris. 1399; *Ἱπποφίλην* dubitans Goettling ed.² 271; *ἣ δ'* Koechly Op. I 232 3 *Ἱπποτάδην*] Siebelis; *ἱππότη* cod. Mosquensis, *Ἱππότην* Facius, *Ἱπποτέα* Boissonade ed. 191, *Ἱππόθοον* Koechly Op. I 232, *Ἵππωτον* dubitans conieci in ed.¹ p. 191; de ceteris conaminibus taceo *τέ*] Koechly l. c., *δέ* codd. 4 *Θηρὼ*] *Θηρόα* Nauck MGrR. V 314 *εὐειδέα*] scripsi Dial. d. Hes. 411, *εὐειδῆ* libri
143, 1 *ἢ οἵη*] *ἠοίη* Vat. B Paris. 2403 *Ὑρίῃ*] *ὑρίη* Vat. B, *ὑρέῃ* Paris. 2403 2 *Ἐννοσιγαίῳ*] *Ποσειδῶνι* Paris. 2403 3 *μειχθεῖσ'*] *μιχθεῖσ'* libri

144 (155)

Ὕηττος δὲ Μόλουρον Ἀρίσβαντος φίλον υἱὸν
κτείνας ἐν μεγάροις εὐνῆς ἕνεχ' ἧς ἀλόχοιο
οἶκον ἀποπρολιπὼν φεῦγ' Ἄργεος ἱπποβότοιο,
ἷξεν δ' Ὀρχομενὸν Μινυήιον· καί μιν ὅ γ' ἥρως
δέξατο καὶ κτεάνων μοῖραν πόρεν, ὡς ἐπιεικές

Pausanias IX 36, 6 sq. (4) *παρὰ τοῦτον τὸν Ὀρχομενὸν βασιλεύοντα Ὕηττος ἀφίκετο ἐξ Ἄργους φεύγων ἐπὶ τῷ Μολούρου φόνῳ τοῦ Ἀρίσβαντος, ὅντινα ἀπέκτεινεν ἐπὶ γυναικὶ ἑλὼν γαμετῇ· καὶ αὐτῷ τῆς χώρας ἀπένειμεν Ὀρχομενὸς ὅση νῦν περί τε Ὑηττόν ἐστι τὴν κώμην καὶ ἡ ταύτῃ προσεχής. Ὑήττου δὲ ἐποιήσατο μνήμην καὶ ὁ τὰ ἔπη συνθείς, ἃς μεγάλας Ἠοίας καλοῦσιν Ἕλληνες· 'Ὕηττος — ἐπιεικές'*

145 (164)

Pausanias II 2, 3 *Κορινθίοις δὲ τοῖς ἐπινείοις τὰ ὀνόματα Λέχης καὶ Κεγχρίας ἔδοσαν, Ποσειδῶνος εἶναι καὶ Πειρήνης τῆς Ἀχελῴου λεγόμενοι· πεποίηται δὲ ἐν Ἠοίαις μεγάλαις Οἰβάλου θυγατέρα εἶναι Πειρήνην*

146 (163)

Pausanias II 16, 4 *ταύτην (Μυκήνην) εἶναι θυγατέρα Ἰνάχου, γυναῖκα δὲ Ἀρέστορος τὰ ἔπη λέγει, ἃ δὴ Ἕλληνες καλοῦσιν Ἠοίας μεγάλας· ἀπὸ ταύτης οὖν γεγονέναι καὶ τὸ ὄνομα τῇ πόλει φασίν*

147 (165)

Pausanias VI 21, 10 sq. *ἀπέθανον δὲ ὑπὸ τοῦ Οἰνομάου κατὰ τὰ ἔπη τὰς μεγάλας Ἠοίας Ἀλκάθους ὁ Πορθάονος, δεύτερος οὗτος ἐπὶ τῷ Μάρμακι, μετὰ δὲ Ἀλκάθουν Εὐρύαλος καὶ Εὐρύμαχός τε καὶ Κρόταλος. τούτων μὲν οὖν γονέας τε καὶ πατρίδας οὐχ οἷά τε ἦν πυθέσθαι μοι· τὸν δὲ ἀποθανόντα ἐπ' αὐτοῖς Ἀκρίαν τεκμαίροιτο ἄν τις Λακεδαιμόνιόν τε εἶναι καὶ οἰκιστὴν Ἀκριῶν. ἐπὶ δὲ τῷ Ἀκρίᾳ Κάπετόν φασιν ὑπὸ τοῦ Οἰνομάου φονευθῆναι καὶ Λυκοῦργον Λάσιόν τε καὶ Χαλκώδοντα καὶ Τρικόλωνον . . . Τρικολώνου δὲ ὕστερον ἐπέλαβεν ἐν τῷ δρόμῳ τὸ*

144, 2 cf. ψ 346 *εὐνῆς ἧς ἀλόχου* 4 *Β* 511 *Ὀρχομενὸν Μινυήιον* (edidi, *Μινύειον* codd.) 5 *Θ* 431 *ὡς ἐπιεικές**

144, 1 *Μόλουρον*] Schubart, *Μόλυρον* Pausaniae codd. 4 *ἷξεν δ'*] *ἷξε δ' ἐς* Koechly Op. I 232 *Μινυήιον*] cf. ad Theog. 340; *Μινύειον* codd. Homeri *Β* 511 *καί μιν ὅ γ'*] *ὅς δέ μιν* Koechly l. c.

147 in Pausaniae narratione numerum procorum Hippodamiae perturbatum esse contendit Luebbert de Pind. stud. Hes. et Hom. diss. 8; Sittl ed. 589 adn. 1 versiculum restituebat hunc: *'Πελάγοντα καὶ Αἰόλιον Κρόνιόν τε'*

χρεὼν Ἀριστόμαχόν τε καὶ Πρίαντα, ἔτι δὲ Πελάγοντα καὶ Αἰόλιόν τε καὶ Κρόνιον

Schol. Pind. Ol. I 127 (II 1, 41 B.) *οἱ ἀναιρεθέντες οὗτοί εἰσι· Μέρμνης, Ἱππόθοος, Πέλοψ ὁ Ὀπούντιος, Ἀκαρνάν, Εὐρύμαχος, Εὐρύλοχος, Αὐτομέδων, Λάσιος, Χάλκων, Τρικόρωνος, Ἀλκάθους ὁ Πορθάονος, Ἀριστόμαχος, Κρόκαλος· τούτῳ τῷ ἀριθμῷ τῶν ἀπολωλότων μνηστήρων καὶ Ἡσίοδος καὶ Ἐπιμενίδης συμμαρτυρεῖ*

148 (167)

Schol. Laur. Apoll. Rhod. Arg. *Δ* 57 (p. 486, 30 K.) *ἐν δὲ ταῖς μεγάλαις Ἠοίαις λέγεται τὸν Ἐνδυμίωνα ἀνενεχθῆναι ὑπὸ τοῦ Διὸς εἰς οὐρανόν. ἐρασθέντα δὲ Ἥρας εἰδώλῳ παραλογισθῆναι [τὸν ἔρωτα] νεφέλης καὶ ἐκβληθέντα κατελθεῖν εἰς Ἅιδου*

149 (168)

Schol. Laur. Apoll. Rhod. Arg. *Α* 118 (p. 310, 6 K.) *ἐν δὲ ταῖς μεγάλαις Ἠοίαις λέγεται ὡς ἄρα Μελάμπους φίλτατος ὢν τῷ Ἀπόλλωνι ἀποδημήσας κατέλυσε παρὰ Πολυφάντῃ. βοὸς δὲ αὐτῷ τεθυμένου δράκοντος ἀνερπύσαντος παρὰ τὸ θῦμα διαφθεῖραι αὐτὸν τοὺς θεράποντας τοῦ βασιλέως. τοῦ δὲ βασιλέως χαλεπήναντος * * * * * τὸν Μελάμποδα λαβεῖν καὶ θάψαι. τὰ δὲ τούτου ἔγγονα τραφέντα ὑπὸ τούτου λείχειν τὰ ὦτα καὶ ἐμπνεῦσαι αὐτῷ τὴν μαντικήν. διόπερ κλέπτοντα αὐτὸν τὰς βόας τοῦ Ἰφίκλου εἰς Αἴγιναν τὴν πόλιν περιληφθέντα δεθῆναι καὶ τοῦ οἴκου μέλλοντος πεσεῖν, ἐν ᾧ ἦν ὁ Ἴφικλος, τῇ διακόνων πρεσβύτιδι μηνῦσαι τοῦ Ἰφίκλου καὶ τούτου χάριν ἀφεθῆναι*

150 (172)

Schol. Laur. Apoll. Rhod. Arg. *Δ* 828 (p. 508, 16 K.) *ἐν δὲ ταῖς μεγάλαις Ἠοίαις Φόρβαντος καὶ Ἑκάτης ἡ Σκύλλα*

151 (170)

Schol. Laur. Apoll. Rhod. Arg. *Β* 181 (p. 399, 21 K.) *πεπηρῶσθαι δὲ Φινέα φησὶν Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις, ὅτι Φρίξῳ τὴν ὁδὸν ἐμήνυσεν, ἐν δὲ τῷ γ' Καταλόγων, ἐπειδὴ τὸν μακρὸν χρόνον τῆς ὄψεως προέκρινεν*

---

148 *τὸν ἔρωτα*] uncis seclusit Keil l. supra c., *εἰδώλῳ νεφέλης διὰ τὸν ἔρωτα* schol. Paris.

149 lacunam indicavit Kinkel Epic. Gr. Fr. I 143, cf. schol. Paris. '*χαλεπήνας δὲ ὁ βασιλεὺς ἀποκτείνει τὸν δράκοντα· ἀναιρεθεὶς δὲ ἐτάφη ὑπὸ Μελάμποδος*' *Αἴγιναν*] *Ἐχῖνον*? Keil l. c. adn.

151 cf. Fragm. 52 *μεγάλαις*] *μὲν ταῖς* Usener Rh. Mus. XXXIX 565

152 (171)

Schol. Laur. Apoll. Rhod. Arg. *B* 1122 (p. 443, 14 K.) *Ἄργος*] *εἷς τῶν Φρίξου παίδων οὗτος. τούτους δὲ Ἡρόδωρός φησιν ἐκ Χαλκιόπης τῆς Αἰήτου θυγατρός, Ἀκουσίλαος δὲ καὶ Ἡσίοδος ἐν ταῖς μεγάλαις Ἠοίαις φασὶν ἐξ Ἰοφώσσης τῆς Αἰήτου. καὶ οὗτος μέν φησιν αὐτοὺς τέσσαρας, Ἄργον Φρόντιν Μέλανα Κυτίσωρον, Ἐπιμενίδης δὲ πέμπτον προστίθησι Πρέσβωνα*.

153 (176)

Antoninus Liber. XXIII (Mythogr. Gr. II 1, 101 M.) *Βάττος ἱστορεῖ Νίκανδρος Ἑτεροιουμένων α' καὶ Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις καὶ Διδύμαρχος Μεταμορφώσεων γ' καὶ Ἀντίγονος ἐν ταῖς Ἀλλοιώσεσι καὶ Ἀπολλώνιος ὁ Ῥόδιος ἐν Ἐπιγράμμασιν, ὥς φησι Πάμφιλος ἐν α'.*

Ἄργου τοῦ Φρίξου καὶ Περιμήλης τῆς Ἀδμήτου θυγατρὸς ἐγένετο Μάγνης. οὗτος ᾤκησεν ἐγγὺς Θεσσαλίας καὶ τὴν γῆν ταύτην ἀπ' αὐτοῦ Μαγνησίαν προσηγόρευσαν οἱ ἄνθρωποι. ἐγένετο δ' αὐτῷ παῖς περίβλεπτος τὴν ὄψιν Ὑμέναιος. ἐπεὶ δὲ Ἀπόλλωνα ἰδόντα ἔρως ἔλαβε τοῦ παιδὸς καὶ οὐκ ἐξελίμπανε τὰ οἰκία τοῦ Μάγνητος, Ἑρμῆς ἐπιβουλεύει τῇ ἀγέλῃ τῶν βοῶν τοῦ Ἀπόλλωνος. αἱ δὲ ἐνέμοντο, ἵνα περ ἦσαν αἱ Ἀδμήτου βόες. καὶ πρῶτα μὲν ἐμβάλλει ταῖς κυσίν, αἳ ἐφύλαττον αὐτάς, λήθαργον καὶ κυνάγχην· αἱ δὲ ἐξελάθοντο τῶν βοῶν καὶ τὴν ὑλακὴν ἀπώλεσαν· εἶτα δ' ἀπελαύνει πόρτιας δώδεκα καὶ ἑκατὸν βοῦς ἄζυγας καὶ ταῦρον, ὃς ταῖς βουσὶν ἐπέβαινεν. ἐξῆπτε δὲ ἐκ τῆς οὐρᾶς πρὸς ἕκαστον ὕλην, ὡς ἂν τὰ ἴχνη τῶν βοῶν ἀφανίσῃ· καὶ ἦγεν αὐτὰς ἐλαύνων διά τε Πελασγῶν καὶ δι' Ἀχαΐας τῆς Φθιώτιδος καὶ διὰ Λοκρίδος καὶ Βοιωτίας καὶ Μεγαρίδος καὶ ἐντεῦθεν εἰς Πελοπόννησον διὰ Κορίνθου καὶ Λαρίσσης ἄχρι Τεγέας. καὶ ἐντεῦθεν παρὰ τὸ Λύκαιον ὄρος ἐπορεύετο καὶ παρὰ τὸ Μαινάλιον καὶ τὰς λεγομένας Βάττου σκοπιάς. ᾤκει δὲ ὁ Βάττος οὗτος ἐπ' ἄκρῳ τῷ σκοπέλῳ καὶ ἐπεὶ τῆς φωνῆς ἤκουσε παρελαυνομένων τῶν μόσχων, προελθὼν ἐκ τῶν οἰκείων ἔγνω περὶ τῶν βοῶν ὅτι κλοπιμαίας ἄγει· καὶ μισθὸν ᾔτησεν, ἵνα πρὸς μηδένα φράσῃ περὶ αὐτῶν. Ἑρμῆς δὲ δώσειν ἐπὶ τούτοις ὑπέσχετο καὶ ὁ Βάττος ὤμοσε περὶ τῶν βοῶν πρὸς μηδένα κατερεῖν. ἐπεὶ δὲ αὐτὰς Ἑρμῆς

---

152 *Ἄργον — Κυτίσωρον*] versum Hopfner, auditor olim meus, sic restituebat: '*Ἄργος τε Φρόντις τε Μέλας θ' ἅμα καὶ Κυτίσωρος*' *Κυτίσωρον*] *Κύτωρον* schol. Paris.; cf. Strabo XIII p. 544

153 *Ἐπιγράμμασιν*] *ἔπεσιν* Sakolowski de Anth. Pal. quaest. 52 *Πάμφιλος*] *Παμφίλη* Hecker Comm. crit. de Anth. Gr. I 19 adn. *περίβλεπτος*] *περιβόητος* Nauck in ed. Martini *οἰκία*] *οἰκεῖα* Nauck l. c. *ὑλακὴν*] Jacobs Exerc. in script. vet. II 89, *φυλακὴν* cod. P (= Palat. 398 s. IX—X) *τῆς Φθιώτιδος*] *καὶ Φθιώτιδος* Berkelius in ed. a. 1674 *τῳ*] O. Schneider Nicandr. 50, *τῷ* cod.

ἔκρυψεν ἐν τῷ πρηῶνι παρὰ τὸ Κορυφάσιον εἰς τὸ σπήλαιον εἰσελάσας ἄντικρυς Ἰταλίας καὶ Σικελίας, αὖθις ἀφίκετο πρὸς τὸν Βάττον ἀλλάξας ἑαυτὸν καὶ πειρώμενος, εἰ αὐτῷ συμμένειν ἐπὶ τοῖς ὁρκίοις ἐθέλει. διδοὺς δὲ μισθὸν χλαῖναν ἐπυνθάνετο παρ' αὐτοῦ, εἰ μὴ κλοπιμαίας βοῦς ἔγνω παρελαθείσας. ὁ δὲ Βάττος ἔλαβε τὴν χλαμύδα καὶ ἐμήνυσε περὶ τῶν βοῶν. Ἑρμῆς δὲ χαλεπήνας, ὅτι διχόμυθος ἦν, ἐρράπισεν αὐτὸν τῇ ῥάβδῳ καὶ μετέβαλεν εἰς πέτρον. καὶ αὐτὸν οὐκ ἐκλείπει κρύος οὐδὲ καῦμα· λέγεται δὲ καὶ ὁ τόπος παρ' ὁδευόντων ἄχρι νῦν σκοπιαὶ Βάττου

ΚΗΥΚΟΣ ΓΑΜΟΣ

154 (178)

Schol. Laur. Apoll. Rhod. Arg. *Α* 1289 (p. 381, 21 K.) *Ἡρόδωρος δέ φησι μὴ συμπεπλευκέναι (τοῖς Ἀργοναύταις) αὐτόν (τὸν Ἡρακλέα) τε καί τινας ἄλλους. Ἡσίοδος ἐν τῷ Κήυκος γάμῳ ἐκβάντα φησὶν αὐτὸν ἐφ' ὕδατος ζήτησιν τῆς Μαγνησίας περὶ τὰς ἀπὸ τῆς ἀφέσεως αὐτοῦ Ἀφετὰς καλουμένας ἀπολειφθῆναι*

155

Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἵενται

Zenobius II 19 (Paroemiogr. Gr. I 37) *οὕτως Ἡσίοδος ἐχρήσατο τῇ παροιμίᾳ, ὡς Ἡρακλέους ἐπιφοιτήσαντος ἐπὶ τὴν οἰκίαν Κήυκος τοῦ Τραχινίου καὶ οὕτως εἰπόντος 'αὐτόματοι — ἵενται'*

idem II 46 (Paroemiogr. Gr. I 44) *ἀκλητὶ κωμάζουσιν ἐς φίλων φίλοι· παροιμία ὁμοία τῇ 'αὐτόματοι — ἴασιν'*

---

155 Bacchyl. Fr. 22 Bl. (de Hercule) *αὐτόματοι δ' ἀγαθῶν δαῖτας εὐόχθους ἐπέρχονται δίκαιοι | φῶτες* Cratin. Pyl. Fr. 169 (I 65 K.) *οἱ δ' αὖθ' ἡμεῖς, ὡς ὁ παλαιὸς | λόγος, αὐτομάτους ἀγαθοὺς ἰέναι | κομψῶν ἐπὶ δαῖτα θεατῶν* Eupol. Chrys. gen. Fr. 289 (I 337 K.) *αὐτόματοι δ' ἀγαθοὶ δειλῶν ἐπὶ δαῖτας ἴασιν*

αὖθις] *αὖτις* O. Schneider l. c. 51 adn. 1 *χλαμύδα*] *χλαῖναν* Berkelius l. c., *χλανίδα* Muncker in ed. a. 1675 *ἐρράπισεν*] *ἐράπισεν* cod. *ἐκλείπει*] *ἐκτρίβει* vel *ἐκλείχει* ('elambit') Martini ed. p. XCVI, *ἐκκόπτει* Thiel ibidem *παρ' ὁδευόντων*] Bast Epist. crit. sup. Anton. Lib. Parth. et Aristaen., *παροδευόντων* cod., ⟨*ὑπὸ τῶν*⟩ *παροδευόντων* Oder de Anton. Liber. (1886) *σκοπιαὶ*] O. Schneider l. c. 51 adn. 2, *σκοπιὰ* cod.

154 *περὶ*] Keil l. c., *παρὰ* cod. Laur.

155 cf. Crusius Anal. ad Paroem. 52 sq. *Ἡσίοδος*] Schneidewin Paroemiogr. Gr. I 37 adn., *Ἡράκλειτος* Zenobius, *ὁ Βακχυλίδης* cod. Athous 15 (utrumque testimonium in archetypo scriptum fuisse arbitratur Crusius l. c. 53) *ἵενται*] *ἴασιν* Zenobius II 46

156 (179)

Ἰδὼν δ' ἱππηλάτα Κῆυξ

Schol. Ven. A Hom. Ξ 119 (II 38, 28 D.) ὁ δὲ ἱππότης ἄρα οὐ φυγάς, ἀλλ' ἱππικός. καὶ ὁ Ἡσίοδος δὲ οὕτως ἀκήκοεν· 'Ἰδὼν — Κῆυξ' ἀντὶ τοῦ ἱππικός

157 (177)

Athenaeus II p. 49 b (I 114, 14 K.) ὅτι Ἡσίοδος ἐν Κήυκος γάμῳ — κἂν γὰρ γραμματικῶν παῖδες ἀποξενῶσι τοῦ ποιητοῦ τὰ ἔπη ταῦτα, ἀλλ' ἐμοὶ δοκεῖ ἀρχαῖα εἶναι — τρίποδας τὰς τραπέζας φησί

Pollux VI 83 ἦσαν δέ τινες πρῶται τράπεζαι καὶ δεύτεραι καὶ τρίται καὶ τρίποδες μέν, ἐφ' ὧν ἔκειντο, καὶ ἔστι τοὔνομα παρ' Ἡσιόδῳ καὶ ἐν Τελμησσεῦσιν Ἀριστοφάνους

158 (180)

Αὐτὰρ ἐπεὶ δαιτὸς μὲν ἐίσης ἐξ ἔρον ἕντο,
μητέρα μητρὸς ἄγοντο
αὐαλέην τε καὶ ὀπταλέην
ἐπὶ σφετέροισι τέκεσσι
τεθνάμεναι

Plutarchus Mor. 730 f (IV p. 342, 9 B.) καθάπερ οὖν τὸ πῦρ τὴν ὕλην ἐξ ἧς ἀνήφθη, μητέρα καὶ πατέρ' οὖσαν, ἤσθιεν, ὡς ὁ τὸν Κήυκος γάμον εἰς τὰ Ἡσιόδου παρεμβαλὼν εἴρηκεν

Incert. auctor περὶ τρόπων Rhet. gr. VIII 776 W. (III 224 Sp.) αἴνιγμά ἐστι φράσις διάνοιαν ἀποκεκρυμμένην καὶ σύνθετον πειρωμένη ποιεῖν, ὡς τὰ παρ' Ἡσιόδῳ περὶ τῆς κύλικος λεγόμενα . . . 'αὐτὰρ — ἕντο' † καὶ οὐ 'μητέρα — ὀπταλέην', ἐπεὶ δοκεῖ πρῶτα μὲν ξηραίνεσθαι, εἶτα ὀπτᾶσθαι· 'ἐπὶ σφετέροισι τέκεσσι', τοῖς ἑαυτοῦ τέκνοις, λέγει δὲ τοῖς ἐξ ἑνός, τὸ δὲ τεθνάναι, καθὸ δοκεῖ ἐκ τῆς ὕλης ἐκκεκόφθαι

---

156 cf. *I* 432 *ἱππηλάτα Φοῖνιξ*
158, 1 *A* 469 *αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο* *A* 468 *δαιτὸς ἐίσης*

---

156 *Κῆυξ*] Bekker in schol., *κῆρυξ* cod.
158 de fragmento cf. Bergk Poet. lyr. Gr.[4] III 667 sq. Op. II 746, 59; 752, 3 Nauck MGrR. III 272 IV 391; Hesiodea esse negavit Sittl Wien. St. XII 60 sq. 1 om. Par. 3 Bar. *δαιτὸς μὲν ἐίσης*] Bergk Poet. lyr. Gr.[4] III 667, *δ' αὐτοὶ μὲν κνίσσης* libri (*δαιτὸς μὲν τεθείσης* Par. 4 ap. Spengel), *δαιτὸς μενοεικέος* Nauck l. c. III 273 3 *αὐαλέην*] *ἀζαλέην* cod. Bar. *τε*] addidit Bergk l. c. III 668 4 *ἐπὶ σφετέροισι τέκεσσι*] Nauck l. c. III 273, *ἐφ' ἑτέροισι τεκέεσσι* (*τέκεσι* Bar.) libri, *ἐπὶ σφετέροις τεκέεσσι* Bergk l. c. III 668 5 *τεθνάμεναι*] Bergk l. c. III 668, *τεθνάναι* traditum *περὶ*] editor Cantabr. ap. Walzium, *παρὰ* codd. *καὶ*] *οἷον* Par. *ἐξ ἑνὸς*] vir doctus in Litt. Centralbl. 1878 c. 1643, *ξένοις* libri, *ξύλοις* editor Cantabr. *ἐκκεκόφθαι*] Bar., *ἐκκόφθαι* unus e Paris., *εἰλῆφθαι* volgo

159 (181)

Iulianus or. ad Heracl. Cyn. (VII) p. 234 d (I 304, 15 H.) *οὐκ οἶσθα, ὅτι καὶ ὁ Σαλμωνεὺς ἔδωκεν ὑπὲρ τούτων τοῖς θεοῖς δίκην, ὅτι ἄνθρωπος ὢν ἐπεχείρει Ζεὺς εἶναι; τὸ δὲ ἐκ τῶν Ἡσιόδου λεγόμενον ὑπὲρ τῶν ὀνομασάντων ἑαυτοὺς τοῖς τῶν θεῶν ὀνόμασιν, Ἥρας τε καὶ Διός, εἰ μήπω καὶ νῦν ἀκήκοας, ἔχω σοι συγγνῶναι*

de Ceyce et Alcyona, Salmonei sorore agitur cf. Schol. Ven. A Hom. *I* 562 *Κῆυξ ὁ Φωσφόρου τοῦ ἀστέρος, γήμας Ἀλκυόνην τοῦ Αἰόλου, μέγα φρονήσας ἐφ' ἑαυτῷ θεὸς ἐβούλετο νομίζεσθαι· διόπερ ἥ τε γαμετὴ διὰ παντὸς ἐκάλει Δία αὐτὸν κἀκεῖνος Ἥραν τὴν γυναῖκα. Ζεὺς δὲ ἀγανακτήσας μετέβαλεν αὐτοὺς εἰς ὄρνεα χωρὶς ἀλλήλων βιοῦντα* v. Apollodorus I 7, 4, 1

ΜΕΛΑΜΠΟΔΕΙΑ

160 (188)

Θαῦμά μ' ἔχει κατὰ θυμόν, ἐρινεὸς ὅσσον ὀλύνθων
οὗτος ἔχει μικρός περ ἐών· εἴποις ἂν ἀριθμόν;
μύριοί εἰσιν ἀριθμόν, ἀτὰρ μέτρον γε μέδιμνος·
εἷς δὲ περισσεύει, τὸν ἐπενθέμεν οὔ κε δύναιο.
ὣς φάτο· καί σφιν ἀριθμὸς ἐτήτυμος εἴδετο μέτρου·
καὶ τότε δὴ Κάλχαντα τέλος θανάτοιο κάλυψεν

Strabo XIV p. 642 *λέγεται δὲ ὁ Κάλχας ὁ μάντις μετ' Ἀμφιλόχου τοῦ Ἀμφιαράου κατὰ τὴν ἐκ Τροίας ἐπάνοδον πεζῇ δεῦρο ἀφικέσθαι, περιτυχὼν δ' ἑαυτοῦ κρείττονι μάντει κατὰ τὴν Κλάρον, Μόψῳ τῷ Μαντοῦς τῆς Τειρεσίου θυγατρός, διὰ λύπην ἀποθανεῖν. Ἡσίοδος μὲν οὖν οὕτω πως διασκευάζει τὸν μῦθον· προτεῖναι γάρ τι τοιοῦτο τῷ Μόψῳ τὸν Κάλχαντα 'θαῦμα — ἀριθμόν;' τὸν δ' ἀποκρίνασθαι 'μύριοι — κάλυψεν'*

160, 1 *κ* 326 *θαῦμά μ' ἔχει** 6 *Π* 502 *τέλος θανάτοιο κάλυψεν**

---

159 ad 'Ceycis nuptias' iure referunt Robert et Wilamowitz Herm. XVIII 418 sq. adn.

160, 1 *ἐρινεὸς — ὀλύνθων*] Xylander, *ἐρινεὸς ὅσους ὀλύνθους* libri, *ἐρινεὸς ὅσσος ὀλύνθος* ('*Δωριστί*') Sittl ed. 612, *ἐρινεὸς οὗτος· ὀλύνθους | οὓς ὅδ' ἔχει* Hermann Eurip. Hel. praef. XVII 2 *μικρός*] *σμικρός* Sittl l. c. 4 *ἐπενθέμεν*] Spohn de extrem. Odyss. part. 72, *ἐπελθέμεν* libri *οὔ κε δύναιο*] Voss Randgl. 81, *οὐκ ἐδύναο* (*ἐδύναιο* Paris.) libri 5 *εἴδετο*] *εἴσατο* dubitans Goettling ed.² 289 5 post hunc aliquid intercidisse suspicatur Immisch Mopsi interrogationem de scrofa gravida desiderans (cf. Apollod. l. c.), Klaros JbfPh. Suppl. XVII 161 6 *Κάλχαντα τέλος*] Nauck MGrR. III 263 sqq., *Κάλχανθ' ὕπνος* Strabonis libri, *Κάλχαντα νέφος* Meineke Vindic. Strab. 220

cf. Apollodorus Epit. (Fragm. Sabb.) 6, 3 (p. 214, 13 W.) *οὗτος ὁ Μόψος περὶ μαντικῆς ἤρισε Κάλχαντι. καὶ Κάλχαντος ἀνακρίναντος ἐρινεοῦ ἑστώσης 'πόσα ἔχει;' τοῦ δὲ εἰπόντος· 'μύρια καὶ μέτρῳ μέδιμνον καὶ ἓν περισσόν' καταπλήσας* (Wagner, traditum *καταστήσας*) *Κάλχας μυριάδα εὗρε καὶ μέδιμνον καὶ ἓν πλεονάζον κατὰ τὴν τοῦ Μόψου πρόρρησιν. Μόψος δὲ συὸς οὔσης ἐπιτόκου ἠρώτα Κάλχαντα, πόσους χοίρους κατὰ γαστρὸς ἔχει, τοῦ δὲ εἰπόντος· 'ὀκτώ', μειδιάσας ὁ Μόψος ἔφη· 'Κάλχας τῆς ἀκριβοῦς μαντείας ἀπεναντίας διάκειται, ἐγὼ δ' Ἀπόλλωνος καὶ Μαντοῦς παῖς ὑπάρχων τῆς ἀκριβοῦς μαντείας τὴν ὀξυδορκίαν πάντως πλουτῶ, καὶ οὐχ ὡς ὁ Κάλχας ὀκτώ, ἀλλ' ἐννέα κατὰ γαστρὸς καὶ τούτους ἄρρενας ὅλους ἔχειν μαντεύομαι καὶ αὔριον ἀνυπερθέτως ἐν ἕκτῃ ὥρᾳ τεχθήσεσθαι'. τούτων γοῦν γενομένων Κάλχας ἀθυμήσας ἀπέθανε καὶ ἐτάφη ἐν Νοτίῳ*

161 (189)

Ζεῦ πάτερ, εἴθε μοι ἥσσον' ἔχειν αἰῶνα βίοιο
ὤφελλες δοῦναι καὶ ἴσα φρεσὶ μήδεα ἴδμεν
θνητοῖς ἀνθρώποις· νῦν δ' οὐδέ με τυτθὸν ἔτισας,
ὃς μακρόν γέ μ' ἔθηκας ἔχειν αἰῶνα βίοιο
ἑπτά τ' ἐπὶ ζώειν γενεὰς μερόπων ἀνθρώπων

Tzetzes in Lycophr. 682 (II 736 M.) *πέμπελον] τὸν ὑπέργηρων . . νῦν δὲ τὸν Τειρεσίαν λέγει, ἐπειδή φασιν αὐτὸν ἑπτὰ γενεὰς ζῆσαι· ἄλλοι δὲ ἐννέα· ἀπὸ γὰρ Κάδμου ἦν καὶ κατωτέρω Ἐτεοκλέους*

161, 1 *η* 331 *Ζεῦ πάτερ, αἴθ'** 3 cf. *Α* 339 *θνητῶν ἀνθρώπων* *Α* 354 *νῦν δ' οὐδέ με τυτθὸν ἔτισεν** 5 *Α* 250 *δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων*

161, 1 *εἴθε μοι ἥσσον' ἔχειν*] Boissonade ed. 128 (idem proposui in ed.[1] p. 203), *εἴθ' ἥσσω μοι ἔχειν* Hermann Op. VI 263, *εἴθε μοι εἴθ' ἥσσω μ'* Tzetzes utroque loco (*εἴδ'* comm. Lycophr. Vit. 2. 3, *εὐθ'* schol. Exeg.), *μ'* in *γ'* mutavit Voss Randgl. 81; *εἴθ' ἥσσω μὲν ἐμοί γ'* (idem, *γ'* omisso Gerhard Lect. Apoll. 160) Bothe vers. Pindari II 172; *εἴθε μοι εἴθ' ἰσόν τ'* O. Schneider ZfdAw. 1840 c. 586 *αἰῶνα*] . . . . *α* Tzetzae Schol. Exeg. 2 *ὤφελλες*] cf. Op. 174; *ὤφελες* Vit. 2. 3; *ὤφειλες* Tryllitzsch teste Müllero l. c. *καὶ ἴσα φρεσὶ μήδεα ἴδμεν*] vir doctus in Gerhardi Lect. Apoll. 161, *καὶ ἴσα μήδεα ἴδμεν* Tzetzes in Lycophr., *καὶ ἴσα* lacuna absorptum in schol. Exeg. Iliad.; *καὶ ἐναίσιμα μήδεα ἴδμεν* Gerhard l. c. 160 sq., *καὶ ὁμοίια μήδεα ἴδμεν* Boissonade ed. 128, *καὶ μήδεα ἴδμεναι ἶσα* Hermann Op. VI 263, *καὶ ἐνὶ φρεσὶ μήδεα ἴδμεν* O. Schneider l. c. 586, *καὶ ἶσά με μήδεα ἴδμεν* Goettling ed.[2] 290 3 *ἀνθρώποις*] periit in Tzetzae schol. Exeg. 4 *ὃς — γέ μ'*] O. Rossbach JbfPh. 1891, 84, *ὅς γε μακρόν μ'* vel *ὅς με μακρόν γε* Tzetzae in Lycophr. libri, . . *μ⟩ακρόν γε* eiusdem schol. Exeg., *ὅς γέ με μακρὸν* Boissonade ed. 128, *ὅς τέ με μακρὸν* Meineke Herm. I 327 *αἰῶνα*] *αἰ⟨ῶνα* Schol. Exeg. 5 *τ'*] Kinkel Epic. Gr. Fragm. I 153, *μ'* Tzetzae libri utroque l., *δ'* Goettling ed.[1] 229 *ἐπὶ ζώειν*] Hermann Op. VI 263, *ἔτι ζώειν* codd. Vit. 2. 3 Tzetzae in Lycophr. et schol. Exeg., *ἐπιζώειν* Goettling ed.[2] 290 *μερόπων*] interiit in schol. Exeg.

καὶ Πολυνείκους, ὥς φησι καὶ ὁ τῆς Μελαμποδίας ποιητής· παρεισάγει γὰρ τὸν Τειρεσίαν λέγοντα 'Ζεὺς — ἀνθρώπων'

Tzetzes Schol. Exeg. Iliad. 149, 1 H. *φησὶ δὲ . . . καὶ ὁ τῆς Μελαμποδ⟨ί⟩ας ⟨ποιητὴς⟩· 'Ζεῦ — ἀνθρώπων'*

162 (190)

Οἴην μὲν μοῖραν δέκα μοιρέων τέρπεται ἀνήρ,
τὰς δέκα δ' ἐμπίπλησι γυνὴ τέρπουσα νόημα

altera Tiresiae responsi recensio: (*γυνὴ*)

ἐννέα μὲν μοίρας, δεκάτην δέ τε τέρπεται ἀνήρ

Schol. Ambros. Hom. *κ* 494 (II 475, 12 D.) *φασὶν ὡς δράκοντας δύο ἐν Κιθαιρῶνι μιγνυμένους ἰδὼν (Τειρεσίας) ἀνεῖλε τὴν θήλειαν καὶ οὕτως μεταβέβληται εἰς γυναῖκα, καὶ πάλιν τὸν ἄρρενα καὶ ἀπέλαβε τὴν ἰδίαν φύσιν. τοῦτον Ζεὺς καὶ Ἥρα κριτὴν εἵλοντο, τίς μᾶλλον ἥδεται τῇ συνουσίᾳ, τὸ ἄρρεν ἢ τὸ θῆλυ· ὁ δὲ εἶπεν· 'οἴην — νόημα'. διόπερ ἡ μὲν Ἥρα ὀργισθεῖσα ἐπήρωσεν, ὁ δὲ Ζεὺς τὴν μαντείαν δωρεῖται*

Tzetzes in Lycophr. 683 II (p. 738 M.) *περὶ δὲ τοῦ Διὸς καὶ Ἥρας περὶ Τειρεσίου ἕνεκα τῆς λάγνου κρίσεως καὶ ὁ τῆς Μελαμποδίας ποιητής, ὡς ἀπὸ τοῦ Τειρεσίου, φησίν· 'οἴην — νόημα'*

Schol. Marc. Lycophr. 683 (p. 133, 21 K.) *λέγεται τὸν Δία τῇ Ἥρᾳ ἐρίσαι, φάσκοντα τὰς θηλείας μᾶλλον ἤπερ τοὺς ἄνδρας ἥδεσθαι τῇ πολλῇ συνουσίᾳ, καὶ χρήσασθαι τῷ Τειρεσίᾳ κριτῇ διὰ τὰς δύο αὐτοῦ μορφάς· τὸν δὲ εἰρηκέναι δέκα οὐσῶν τῶν πασῶν ἡδονῶν μίαν μὲν ἔχειν τοὺς ἄρρενας, τὰς δὲ λοιπὰς ἐννέα τὰς γυναῖκας, ὡς ὁ τῆς Μελαμποδίας ποιητής· 'ἐννέα μὲν μοίρας· δεκάτην δέ τε τέρπεται ἀνήρ'. ['τὰς δέκα — νόημα']. ὀργισθεῖσα δὲ ἡ Ἥρα ἐτύφλωσεν αὐτόν· ὁ δὲ Ζεὺς ἐχαρίσατο αὐτῷ μαντικὴν καὶ πολυχρόνιον ζωήν*

Apollodorus III 6, 7, 4 (p. 127, 13 W.) *Ἡσίοδος δέ φησιν ὅτι θεασάμενος (Τειρεσίας) περὶ Κυλλήνην ὄφεις συνουσιάζοντας καὶ τούτους τρώσας ἐγένετο ἐξ ἀνδρὸς γυνή, πάλιν δὲ τοὺς αὐτοὺς ὄφεις παρατηρήσας συνουσιάζοντας ἐγένετο ἀνήρ. διόπερ Ἥρα καὶ Ζεὺς ἀμφισβητοῦντες πότερον τὰς γυναῖκας ἢ τοὺς ἄνδρας ἥδεσθαι μᾶλλον ἐν ταῖς συνουσίαις*

---

162 Tiresiae responsi recensio prior invenitur in schol. Ambros. Hom. Tzetza (supposita in Apollodoro), alteram agnoscunt Apollodorus Phlegon Schol. Marc. Lycophr., utramque, ut videtur, Eustathius

rec. I 1 *μοῖραν*] *μοίρην* Apollodori codd. l. supposito *μοιρέων*] Meineke Anal. crit. ad Athen. 21, *μοιρῶν* testes 2 *τὰς δέκα δ'*] schol. Hom. Tzetzes, *τὰς δὲ δέκ'* Apollodori codd. *νόημα*] *νοήματα* Apollodori codd. Tzetzae cod. Vit. 3

rec. II *δέ τε*] *μοῖραν* in schol. Marc. Lycophr. additum delevit C. Schenkl in ed. meae[1] p. 205

Schol. Marc. Lycophr.: *ὡς ὁ — νόημα*] quae verba volgo scholion claudunt, transposuit C. Schenkl in ed. mea[1] 205 ['*τὰς — νόημα*'] ex altera recensione irrepsit

συμβαίνοι, τοῦτον ἀνέκριναν. ὁ δὲ ἔφη δέκα μοιρῶν περὶ τὰς συνουσίας οὐσῶν τὴν μὲν μίαν ἄνδρας ἥδεσθαι, τὰς δὲ ἐννέα γυναῖκας. ὅθεν Ἥρα μὲν αὐτὸν ἐτύφλωσε, Ζεὺς δὲ τὴν μαντικὴν αὐτῷ ἔδωκεν. [τὸ ὑπὸ Τειρεσίου λεχθὲν πρὸς Δία καὶ Ἥραν· 'οἵην — νόημα']

Phlegon Mirab. c. IV p. 73 sq. K. *ἱστορεῖ δὲ καὶ Ἡσίοδος καὶ Δικαίαρχος καὶ Κλέαρχος καὶ Καλλίμαχος καὶ ἄλλοι τινὲς περὶ Τειρεσίου τάδε. Τειρεσίαν τὸν Εὐήρους ἐν Ἀρκαδίᾳ [ἄνδρα] ὄντα ἐν τῷ ὄρει τῷ ἐν Κυλλήνῃ ὄφεις ἰδόντα ὀχεύοντας τρῶσαι τὸν ἕτερον καὶ παρὰ χρῆμα μεταβαλεῖν τὴν ἰδέαν· γενέσθαι γὰρ ἐξ ἀνδρὸς γυναῖκα καὶ μιχθῆναι ἀνδρί. τοῦ δὲ Ἀπόλλωνος αὐτῷ χρήσαντος, ὡς ἐὰν τηρήσας ὀχεύοντας ὁμοίως τρώσῃ τὸν ἕνα ἔσται οἷος ἦν, παραφυλάξαντα τὸν Τειρεσίαν ποιῆσαι τὰ ὑπὸ τοῦ θεοῦ ῥηθέντα καὶ οὕτως ἀνακομίσασθαι τὴν ἀρχαίαν φύσιν. Διὸς δὲ ἐρίσαντος Ἥρᾳ καὶ φαμένου ἐν ταῖς συνουσίαις πλεονεκτεῖν τὴν γυναῖκα τοῦ ἀνδρὸς τῇ τῶν ἀφροδισίων ἡδονῇ καὶ τῆς Ἥρας φασκούσης τὰ ἐναντία, δόξαι αὐτοῖς μεταπεμψαμένοις ἐρέσθαι τὸν Τειρεσίαν διὰ τὸ τῶν τρόπων ἀμφοτέρων πεπειρᾶσθαι. τὸν δὲ ἐρωτώμενον ἀποφήνασθαι, διότι μοιρῶν οὐσῶν δέκα τὸν ἄνδρα τέρπεσθαι τὴν μίαν, τὴν δὲ γυναῖκα τὰς ἐννέα. τὴν δὲ Ἥραν ὀργισθεῖσαν κατανύξαι αὐτοῦ τοὺς ὀφθαλμοὺς καὶ ποιῆσαι τυφλόν, τὸν δὲ Δία δωρήσασθαι αὐτῷ τὴν μαντικὴν καὶ βιοῦν ἐπὶ γενεὰς ἑπτά*

cf. Eustathius Hom. 1665, 42 *φέρεται δὲ περὶ αὐτοῦ* (*Τειρεσίου*) *μυθικὸς λόγος, ὅτι δράκοντας ἐν Κιθαιρῶνι μιγνυμένους ἰδὼν καὶ τὴν θήλειαν ἀνελὼν μετέπεσεν εἰς γυναῖκα. εἶτα συγκατενεγκὼν μετὰ καιρὸν καὶ τὸν ἄρρενα τὴν οἰκείαν φύσιν ἀπέλαβε, τοῦτον Ζεὺς καὶ Ἥρα διαφερόμενοι κριτὴν εἵλοντο οἷα πεπειραμένον ἑκατέρας φύσεως, εἰ ἄρα μᾶλλον τὸ ἄρρεν ἢ τὸ θῆλυ ἐνεργοῦντα γέγηθεν. ὁ δ' ἐγνωμάτευσέ πως ἐμμέτρως, ὡς εἴπερ ἐκ δέκα μοιράων εἴη τὰ τῆς τερπωλῆς τὰς ἐννέα 'ἐμπίπλησι γυνὴ τέρπουσα νόημα'. ἐφ' ᾧ Ἥρα μὲν ὀργισθεῖσα ἐκτυφλοῖ αὐτόν, Ζεὺς δὲ δωρεῖται τὴν μαντικήν*

163 (191)

Ἡδὺ . . . ἐστ' ἐν δαιτὶ καὶ εἰλαπίνῃ τεθαλυίῃ
τέρπεσθαι μύθοισιν, ἐπὴν δαιτὸς κορέσωνται

163, 1 cf. *K* 217 *ἐν δαίτῃσι καὶ εἰλαπίνῃσι* λ 415 *εἰλαπίνῃ τεθαλυίῃ**

Apollodorus: *ἀνέκριναν*] Heyne in ed. alt. (1803), *ἀνέκρινον* libri *δέκα . . . τὴν μὲν μίαν . . . τὰς δὲ ἐννέα*] Barth, *δεκαεννέα . . . τὰς μὲν ἐννέα . . . τὰς δὲ δέκα* Bibliothecae codd., quod erratum auctori (non librario) tribuit Immisch Rh. Mus. XLVI 613 [*τὸ ὑπὸ — νόημα'*] seclusit Faber in ed. a. 1661

Phlegon: *Εὐήρους*] Meursius, *εὐμάρους* cod. (Pal. Gr. 398) [*ἄνδρα*] seclusit Nauck *ἀνακομίσασθαι*] Nauck, *κομίσασθαι* cod. *τῇ . . . ἡδονῇ*] Hercher, *τῆς . . . ἡδονῆς* cod.

163 cum sequenti fragmento cohaesisse arbitratus est Buttmann Lexil. I 128 1 *ἡδὺ . . . ἐστ'*] Kaibel in ed. Athen. I 94, *ἡδὺ ἐστιν* codd. CE

Athenaeus II p. 40 f (I 94, 22 K.) 'ἡδὺ — κορέσωνται' Ἡσίοδος ἐν τῇ Μελαμποδίᾳ φησίν

164 (192)

Ἡδὺ δὲ καὶ τὸ πυθέσθαι, ὅσα θνητοῖσιν ἔνειμαν
ἀθάνατοι, δειλῶν τε καὶ ἐσθλῶν τέκμαρ ἐναργές

Clemens Alex. Strom. VI 2, 26 (III 147 D.) Ἡσίοδός τε ἐπὶ τοῦ Μελάμποδος ποιεῖ 'ἡδὺ — ἐναργές', καὶ τὰ ἑξῆς παρὰ Μουσαίου λαβὼν τοῦ ποιητοῦ κατὰ λέξιν

165 (193)

Τῷ δὲ Μάρης θοὸς ἄγγελος ἦλθε δι' οἴκου,
πλήσας δ' ἀργύρεον σκύπφον φέρε, δῶκε δ' ἄνακτι

1 sq. Athenaeus XI p. 498 a. b (III 98', 6 K.) Ἡσίοδος δ' ἐν τῷ δευτέρῳ Μελαμποδίας σὺν τῷ π σκύπφον λέγει 'τῷ — ἄνακτι'

2 unde Eustathius Hom. 900, 17 συντελεῖ δὲ εἰς τὴν γραφὴν τοῦ ὄπφιν καὶ τὸ σκύπφον ὃ κεῖται παρὰ Ἀνακρέοντι, ὥς φησιν Ἀθήναιος, ἔτι δὲ καὶ τὸ 'πλήσας — ἄνακτι', ὃ κεῖσθαι λέγει ἐν τῇ καθ' Ἡσίοδον Μελαμποδίᾳ

idem Hom. 1775, 18 . . . Ἡσίοδος ἐν Μελαμποδίᾳ . . . μετὰ τοῦ π 'σκύπφον' φησίν, οἷον 'πλήσας — ἄνακτι'

166 (194)

Καὶ τότε Μάντης μὲν δεσμὸν βοὸς αἴνυτο χερσίν,
Ἴφικλος δ' ἐπὶ νῶτ' ἐπεμαίετο. τῷ δ' ἐπ' ὄπισθεν
σκύπφον ἔχων ἑτέρῃ, ἑτέρῃ δὲ σκῆπτρον ἀείρας
ἔστειχεν Φύλακος καὶ ἐνὶ δμώεσσιν ἔειπεν

Athenaeus XI p. 498 b (III 98, 10 K.) καὶ πάλιν 'καὶ τότε — ἔειπεν'

(Paris. Laur.); ἡδὺ μέν ἐστ' Peppmüller Rh. Mus. XL 626 (qui e Buttmanni sententia fragm. 163 et 164 in unum coniungit); ἥδιστον δ' Meineke Herm. I 327, qui fragm. 163 post 164 collocatum fuisse ratus est τεθαλυίῃ] τεθαλείῃ CE

Μελαμποδίᾳ] Μελαμποδείᾳ Meineke

164, 1 τὸ] τὰ O. Schneider ZfdAw. 1840 c. 585 πυθέσθαι] Sylburg, πείθεσθαι cod. L ἔνειμαν] O. Schneider l. c., ἔδειμαν Clementis lib., ἔδειξαν dubitans Goettling ed.[2] 290 2 δειλῶν] δεινῶν male Koechly Op. I 233 (cf. Buttmann Lexil. I[2] 129)

165, 1 τῷ δὲ Μάρης] τόδ' εμαρης Athenaei cod. A Μάρης] Μάρις Wilamowitz Hom. Unters. 178 adn. 22 (coll. Hom. Π 319, ubi codd. dett. μάρης exhibent)

166, 1 Μάντης] Μάντιος filius Melampodis Hom. ο 244 βοὸς] Hemsterhuis ad Hesych. v. ἐπιμαίεσθαι, βιος A 2 τῷ δ'] τὸ δ' A, corr. Musurus ἐπ' ὄπισθεν] ἐποπισθεν A 3 ἑτέρῃ δὲ σκῆπτρον] σκῆπτρον δ' ἑτέρηφιν Nauck MGrR. IV 387

167 (195)

Athenaeus XIII p. 609 e (III 344, 25 K.) *Ἡσίοδος δ' ἐν τρίτῳ Μελαμποδίας τὴν ἐν Εὐβοίᾳ Χαλκίδα καλλιγύναικα εἶπεν*

Eustathius Hom. 875, 52 . . . *κατ' Ἀχαιίδα πουλυβότειραν ἢ καλλιγύναικα, ὃ δὴ καὶ Ἡσίοδος τῇ Εὐβοϊκῇ Χαλκίδι ἐπέθετο*

168 (196)

Strabo XIV p. 676 *Ἡσίοδος δ' ἐν Σόλοις ὑπὸ Ἀπόλλωνος ἀναιρεθῆναι τὸν Ἀμφίλοχόν φησιν*

169 (197)

Μάντις δ' οὔ νύ τις ἐστιν ἐπιχθονίων ἀνθρώπων,
ὅς τις ἂν εἰδείη Ζηνὸς νόον αἰγιόχοιο

Clemens Alex. Strom. V 14, 129 (III 109 D.) *ἀλλὰ καὶ Ἡσίοδος δι' ὧν γράφει συνᾴδει τοῖς προειρημένοις 'μάντις — αἰγιόχοιο'*

unde sua Eusebius Praep. evang. XIII 13, 57 (II 219, 20 D.)

ΧΙΡΩΝΟΣ ΥΠΟΘΗΚΑΙ

170 (182)

Εὖ νῦν μοι τὰ ἕκαστα μετὰ φρεσὶ πευκαλίμῃσι
φράζεσθαι· πρῶτον μέν, ὅτ' ἂν δόμον εἰσαφίκηαι,
ἐρδέμεν ἱερὰ καλὰ θεοῖς αἰειγενέτῃσιν

169, 1 σ 136 *ἐστὶν ἐπιχθονίων ἀνθρώπων** 2 Ξ 160 *Διὸς νόον αἰγιόχοιο**

170, 1 Θ 366 *ἐνὶ φρεσὶ πευκαλίμῃσι** 2 cf. Υ 336 *μὴ .. δόμον Ἄιδος εἰσαφίκηαι* 3 cf. Λ 707 *ἔρδομεν ἱρὰ θεοῖς* Γ 296 *θεοῖς αἰειγενέτῃσιν**

---

169 Solon Fr. 16 H.-Cr.[4] *πάντῃ δ' ἀθανάτων ἀφανὴς νόος ἀνθρώποισιν* Pind. Fr. 61, 3 B.-Schr.[5] *οὐ γὰρ ἔσθ' ὅπως τὰ θεῶν βουλεύματ' ἐρευνάσει βροτέᾳ φρενί*

170, 1 sq. Maxim. 227 sq. *φρεσὶ πευκαλίμῃσι | φράζεσθαι** 2 sq. cf. Pind. Pyth. VI 19 *σύ τοι σχέθων νυν ἐπιδέξια χειρὸς ὀρθὰν | ἄγεις ἐφημοσύναν, | τά ποτ' ἐν οὔρεσι φαντὶ μεγαλοσθενῆ | Φιλύρας υἱὸν ὀρφανιζομένῳ | Πηλεΐδᾳ παραινεῖν· μάλιστα μὲν Κρονίδαν, | βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν, θεῶν σέβεσθαι*

---

168 cf. Fragm. 160

169 suspectum Sittlio Wien. St. XII 59 sq. 1 *οὔ νύ τις*] scripsi Wien. St. V 202, *οὐδείς* Clemens

170, 1 *μοι*] cod. Paris. 2403, *τοι* Vat. B *τὰ ἕκαστα*] Buttmann in Boeckhii ed. II 1, 389 adn., *τάδ' ἕκαστα* libri *μετὰ*] *ἐνὶ* Nauck MGrR. IV 392 sq. *πευκαλίμῃσι*] cod. Paris. 2403, *πευκαλίμοισιν* Gotting. 2 *ὅτ' ἂν — εἰσαφίκηαι*] Marckscheffel l. c. 370, *ὅταν εἰς σὸν δόμον ἀφίκηαι* cod. Paris. 2403, *ὅταν εἰς σὸν δόμον εἰσαφίκηαι* cod. Gotting., *ὅτ' εἰς δόμον εἰσαφίκηαι* Boeckh in ed. schol. l. c. 3 *ἐρδέμεν*] scripsi Wien. St. V 202, *ἔρδειν* vel *ἕρδειν* libri *αἰειγενέτῃσιν*] *αἰειγενέτοισιν* Paris. 2403

Schol. Pind. Pyth. VI 19 (II 1, 389 B.) *τὰς δὲ Χίρωνος Ὑποθήκας Ἡσιόδῳ ἀνατιθέασιν, ὧν ἡ ἀρχή 'εὖ — αἰειγενέτῃσιν'*

171 (183)

Ἐννέα τοι ζώει γενεὰς λακέρυζα κορώνη
ἀνδρῶν γηράντων· ἔλαφος δέ τε τετρακόρωνος·
τρεῖς δ' ἐλάφους ὁ κόραξ γηράσκεται· αὐτὰρ ὁ φοῖνιξ
ἐννέα μὲν κόρακας, δέκα φοίνικας δέ τοι ἡμεῖς
Νύμφαι ἐυπλόκαμοι, κοῦραι Διὸς αἰγιόχοιο

1—5 Plutarchus Mor. p. 415 c (III 83, 8 B.) *ὁ δ' Ἡσίοδος οἴεται καὶ περιόδοις τισὶ χρόνων γίγνεσθαι τοῖς δαίμοσι τὰς τελευτάς· λέγει γὰρ*

171, 5 *μ* 132 *Νύμφαι ἐυπλόκαμοι** Z 420 *Νύμφαι ὀρεστιάδες, κοῦραι Διὸς αἰγιόχοιο*

171, 1—5 Auson. Ed. XVIII de aetat. anim. Hesiod. 1—8 *ter binos deciesque novem super exit in annos | iusta senescentum quos implet vita virorum. | hos novies superat vivendo garrula cornix | et quater egreditur cornicis saecula cervus. | alipedem cervum ter vincit corvus et illum | multiplicat novies Phoenix reparabilis ales. | quem nos perpetuo decies praevertimus aevo | Nymphae hamadryades, quarum longissima vita est* 1 Aristoph. Av. 609 *οὐκ οἶσθ', ὅτι πέντ' ἀνδρῶν γενεὰς ζώει λακέρυζα κορώνη;* Arat. 1022 *ἐννεάγηρα κορώνη* Ovid. Met. VII 274 *novem cornicis saecula passae* [1]) 2 cf. Xenophan. Eleg. Fr. 9 D. *ἀνδρὸς γηρέντος** Oppian. Cyn. II 291 sq. *ζώει δ' αὖτ' ἔλαφος δηρὸν χρόνον, ἀτρεκέως δὲ | ἀνθρώπων γενεή μιν ἐφήμισε τετρακόρωνον* Babr. 46, 8 *ἔλαφος δὲ λιμῷ κοὐ νόσῳ κατεσκλήκει, | μή πω κορώνην δευτέρην ἀναπλήσας, | ὃς εἰ φίλους οὐκ ἔσχε, κἂν γεγηράκει* [2])

---

171 ad Chironis praecepta haec a Naïde, Chironis uxore, prolata rettulit Bergk Gr. Litg. 1008 adn. 101; Astronomicis adnumeranda esse alii censuerunt (Barthélemy, Memoir. de l'Acad. des Inscript. XL 506 et C. Schenkl in Ausonii ed. prooem. XXXVIII adn. 33) 1 *τοι*] Plutarchus, *τε* Philoponus, *μὲν* Interpr. Vergil. Schol. Veron. Vergili, *γὰρ* schol. Aristoph. schol. Hom. Ven. B et Townl. Etymologica Tzetzes *ζώει*] *ζῶσιν* codices Ven. B et Townl. scholior. Hom. *ζώει γενεὰς*] *γενεὰς ζώει* Philoponus schol. Ven. Aristoph. *γενεὰς λακέρυζα*] *γενε . . . . κέρυζα* servavit Tzetzae cod. 2 *γηράντων*] Et. mag. v. *γηράς*, cf. Bergk ZfdAw. 1841 c. 85 et quae dixi Wien. St. V 203, *γηρώντων* Proclus Etymologica l. altero Tzetzes, *senescentum* Ausonius, *φθινόντων* Philoponus; *ἡβώντων* Plutarchus Interpr. Verg. schol. Veron. Verg. *ἔλαφος*] periit in Tzetzae cod. *τε*] om. Philoponi codd. Et. Par. 4 *μὲν*] C. G. Müller de cyclo Graec. epic. 145, *τοὺς* Plutarchus Interpr. Verg. *δέκα — ἡμεῖς*] scripsi Wien. St. V 203 sq., *δέκα δ' ἡμεῖς τοὺς φοίνικας* Plutarchus Interpr. Verg.

---

1) cf. Automedon Anth. Pal. XI 361, 7 *βίον ζώοιτε κορώνης* Agathias Anth. Pal. V 289, 1 *ἡ γραῦς ἡ τρικόρωνος* Lucillius Anth. Pal. XI 69, 1 *Θεμιστονόη τρικόρωνος* Myrinus Anth. Pal. XI 67, 2 *πεντακόρων' Ἑκάβη* (Planudes, *Λαῒ κορωνεκάβη* cod. Palat.) Lucret. V 1082 *cornicum ut saecla vetusta* Horat. Carm. III 17, 13 *annosa cornix* Iuven. X 246 sq. *Pylius . . . exemplum vitae fuit a cornice secundae* Constant. Manass. de Michael. Strat. 6333 *ὃς κατὰ μὲν τὸν χρόνον | ἀμετροβίοις ἤριζε κορώναις μακρογήρως*

2) cf. Bassus Anth. Pal. XI 72, 3 *γραῖα . . ἢ φάος ἀθρήσασ' ἐλάφου πλέον*

ἐν τῷ τῆς Ναΐδος προσώπῳ καὶ τὸν χρόνον αἰνιττόμενος '*ἐννέα — αἰγιόχοιο*'

Interpret. Vergil. Buc. VII 30 (II 307 L.) *Homerus* (immo 'Hesiodus') *ita*: '*ἐννέα — αἰγιόχοιο*'

Plinius Nat. hist. VII 48, 153 *Hesiodus qui primus aliqua de hoc prodidit fabulose, ut reor, multa de hominum aevo referens cornici novem nostras attribuit aetates, quadruplum eius cervis, id triplicatum corvis et reliqua fabulosius in phoenice ac Nymphis*

1—3 Ioannes Philoponus de opif. mundi VI 2 p. 231 R. *καὶ γὰρ ἀδάμας καὶ λίθων πολλοὶ τῶν τιμωμένων μάλιστα παρ' ἡμῖν τῶν ἀνθρωπίνων σωμάτων εἰσὶ πολυχρονιώτεροί τε καὶ δυσπαθέστεροι*· '*ἐννέα — ὁ κόραξ*'

1. 2 Schol. Veron. Vergil. Buc. VII 30 (p. 75, 3 K.) *vivacis cervi et Homerus* (immo 'Hesiodus') *ita*: '*ἐννέα — τετρακόρωνος*'

Et. mag. et Gud. (Et. Par. v. *ἀγροτέρας* Anecd. Par. IV 60 Cr.) v. *ἀγροτέρας ἐλάφους . . . διὰ τὸ πολυχρόνιον τοῦ ζῴου, ὡς ὁ χρησμὸς δηλοῖ*· (*πολυχρόνιον τὸ ζῷον, ὡς χρησμός φησιν* Et. Gud., *ὡς Χρύσιππός φησιν* Et. Par.) '*ἐννέα — τετρακόρωνος*'

Tzetzes Schol. Exeg. Iliad. p. 149, 26 H. *φησὶ* (*Ἡσίοδος*) *περὶ κορωνῶν*· '*ἐννέα — τετρακόρωνος*'

Proclus in Plat. Remp. II 13, 26 Kr. *θαυμάζομεν διὰ τί τὸ μὲν ζῇ μίαν ἡμέραν . . τὸ δὲ* '*ἐννέα γενεὰς ἀνδρῶν γηρώντων*' . .

1 Schol. Aristoph. Av. 609 *κακῶς καὶ τοῦτο παρὰ τὸ Ἡσιόδειον παίζει* '*ἐννέα — κορώνη*'

Schol. Ven. B Hom. *Δ* 60 (III 198, 16 D.) *λαμβάνεται δὲ* (*ἡ γενεὰ*) *καὶ ἐπὶ χρόνου ζωῆς ἀνθρώπων ὡς τὸ* '*ἐννέα — γενεάς*'

Schol. Townl. Hom. *Δ* 101 (V 132, 4 M.) *γενεὰ σημειοῖ . . . λγ' ἔτη ἀνθρώπου* '*ἐννέα — γενεάς*'

cf. Plutarchus Mor. p. 989 a (VI 91, 15 B.) *τὴν δὲ Πηνελόπης σωφροσύνην μυρίαι κορῶναι κρώζουσαι γέλωτα θήσονται καὶ καταφρονήσουσιν, ὧν ἑκάστη, ἂν ἀποθάνῃ ὁ ἄρρην, οὐκ ὀλίγον χρόνον ἀλλ' ἐννέα χηρεύει γενεὰς ἀνθρώπων*

Achilles Tatius IV 4 *βιοῦν γὰρ αὐτὸν λέγουσιν ὑπὲρ τὴν Ἡσιόδου κορώνην*

2 Et. mag. v. *γηράς . . ἡ γενικὴ γηράντος ὡς ἱστάντος*· *οἷον* '*γηράντων ἀνδρῶν*'

Aristophanes hist. anim. epit. II 492 L. (Supplem. Aristot. I 1, 128, 3) *ζῇ δὲ ἡ ἔλαφος ἔτη πλεῖστα. ἔστι δὲ* ⟨*τὸ*⟩ *μυθευόμενον, ὡς* '*ἔλαφος τετρακόρωνος*', *τῶν εἰκῇ καὶ ὡς ἔτυχε πιστευομένων*

3 Tzetzes in Lycophr. 794 (II 785 M.) *ἑκατὸν ὀκτὼ γὰρ ζῇ γενεὰς καθ' Ἡσίοδον ὁ κόραξ*

172 (184)

ἠπήσασθαι

Phrynichus p. 91 L. (cf. Anecd. Gr. ed. Bachm. II 385) *ἀκεστὴς λέγουσιν οἱ παλαιοί, οὐκ ἠπητής· ἔστι μὲν ἠπήσασθαι ἅπαξ παρ' Ἀριστοφάνει ἐν Δαιταλεῦσι παίζοντι τὰς Ἡσιόδου Ὑποθήκας 'καὶ κόσκινον ἠπήσασθαι'. σὺ δὲ λέγε ἀκέσασθαι τὸ ἱμάτιον*

173 (185)

Quintilianus I 1, 15 *quidam litteris instituendos, qui minores septem annis essent, non putaverunt, quod illa primum aetas et intellectum disciplinarum capere et laborem pati posset. in qua sententia Hesiodum esse plurimi tradunt, qui ante grammaticum Aristophanem fuerunt, nam is primus Ὑποθήκας, in quo libro scriptum hoc invenitur, negavit esse huius poetae*

ΜΕΓΑΛΑ ΕΡΓΑ

174 (198)

Εἰ κακά τις σπείραι, κακὰ κέρδεά κ' ἀμήσειεν·

εἴ κε πάθοι τά κ' ἔρεξε, δίκη κ' ἰθεῖα γένοιτο

1. 2 Anonymus comm. in Aristot. Eth. Nicom. V 8 (p. 222, 22 H.) *καὶ νῦν δ' αὐτὸς σαφῶς ἐδήλωσε παραθέμενος τὸ τοῦ Ῥαδαμάνθυος.*

---

172 Aristoph. Daet. Fr. 227 (I 450 K.) *καὶ κόσκινον ἠπήσασθαι*

---

172 *ἔστι μὲν*] post *ἠπήσασθαι* habent Anecd. Bachm. *παίζοντι — Ὑποθήκας*] non leguntur in Anecd.; in quibus post *ἱμάτιον* additum: *παίζων γὰρ τὰς Ἡσιόδου Ὑποθήκας Ἀριστοφάνης εἶπε τοῦτο*

174 cf. quae disputarunt Ludwich JbfPh. 1874 p. 457 sq. et Peppmüller Phil. Anz. XIV 429 1 *κ'*] addidit Rose Herm. V 359, om. libri *ἀμμήσειεν* Schulze Quaest. ep. 365 adn. 2 *εἴ κε*] *αἴ κε* schol. Aeschyl. Iulianus Suidas, *εἰ δὲ* Ludwich l. c., qui hunc versum cum priore coniungit *πάθοι*] Aristoteles cum Heliodoro Seneca Suidas, *πάθῃ* schol. Aeschyl. Iulianus (suasit Nauck MGrR. IV 397) Isaac, *πάθος* Anonymi codd. *τά κ'*] *τὰ κ'* (= *καὶ*) Ramsauer in ed. Aristot., *τά γ'* Gregorius Cypr., *τὰ δ'* Schneidewin Coniect. crit. 69 et Bernhardy (vel *τά γ'*) in Suida I b 30 adn., *ἅ κ'* Isaac *κ' ἔρεξε*] *κέρεξε* Anonymi cod. G, *κ' ἔερξε* Nauck l. c. *κ' ἰθεῖα*] *δ' ἰθεῖα* schol. Aeschyl. Anonymus Iuliani codd. aliquot (quod recepit Hertlein) Suidas Gregorius Cypr., *τ' ἰθεῖα* Isaac *παραθέμενος*] restitui in ed. mea[1] (idem Brandis), *περιθέμενος* codd.

hoc cum fragmento Ludwich JbfPh. 1874 p. 457 sq. ea quae in schol. Plat. Phaedr. p. 260 C (Append. Plat. p. 273 H.) (cf. Gregorius Cypr. II 57 Paroemiogr. Gr. II 77, 3) leguntur comparavit: *καρπὸν ὧν ἔσπειρας θέριζε ἐπὶ τῶν τοιαῦτα πασχόντων οἷα ἔδρασαν. παρῆκται δὲ ἀπὸ τοῦ στίχου· 'εἰ δὲ κακὰ σπείραις* (*σπείρῃς* Peppmüller Phil. Anz. XIV 429), *κακὰ κέρδεά κ'* (Ludwich pro *κακά κεν, κήδεά κ'* Cobet Mnem. n. s. I 353, *τάχα*

τὸ μέντοι ἔπος ἐστὶ παρ' Ἡσιόδῳ ἐν τοῖς μεγάλοις Ἔργοις οὕτω ἔχον· 'εἰ κακὰ — γένοιτο'

2 Aristoteles Eth. Nicom. V 8 τὸ δ' ἀντιπεπονθὸς οὐκ ἐφαρμόττει οὔτ' ἐπὶ τὸ διανεμητικὸν δίκαιον οὔτ' ἐπὶ τὸ διορθωτικόν· καίτοι βούλονταί γε τοῦτο λέγειν καὶ τὸ Ῥαδαμάνθυος δίκαιον· 'εἴ κε — γένοιτο'

Heliodorus Aristot. Eth. Nicom. paraphr. p. 94, 31 H. οἱ δὲ Πυθαγόρειοι ἔλεγον δίκαιον εἶναι τὸ ἀντιπεπονθός, τὸ τὰ αὐτὰ πάσχειν ἃ ποιεῖ τις· καὶ πρὸς τοῦτο φέρειν καὶ τὸ τοῦ Ῥαδαμάνθυος ἔπος 'εἴ κε — γένοιτο'

'Seneca' Lud. de morte Claud. 14 *Aeacus homo iustissimus vetat. illum altera tantum parte audita condemnat et ait:* 'εἴ κε — γένοιτο'

Schol. Medic. Aeschyl. Suppl. 444 δίκαιόν ἐστιν ἀποδιδόναι ὁμοίαν δίκην· 'αἴ κε — γένοιτο'

Iulianus Conviv. p. 314 a (I 403 H.) . . . ἡ δοθεῖσα Δελφοῖς μαντεία 'αἴ κε — γένοιτο' . .

Suidas v. αἴ κε πάθοι (I 2, 30, 1 B.) 'αἴ κε — γένοιτο' χρησμὸς δοθεὶς περὶ τῶν Αὐρηλιανοῦ φόνων καὶ ἀδικιῶν

Isaac Porphyrog. (post 'Polemonem') p. 70, 19 Hinck οὕτως δίκην ὁ Ἀχιλλεὺς προσήκουσαν ὤφλησε τῇ περὶ τὸν Ἕκτορα τούτου ἀπανθρώπῳ καὶ ἀτεράμονι μήνιδι φιλοσόφως τοῦ ποιητοῦ φάσκοντος ὡς εἰ καὶ πάθῃ τις ἅ κ' ἔρεξε, δίκη τ' ἰθεῖα γένοιτο

175 (207)

'Proclus' in Hes. Op. 126 (p. 103 G.) τὸ δ' ἀργύρεον ἔνιοι τῇ γῇ ἀκούουσι λέγοντες ὅτι ἐν τοῖς μεγάλοις Ἔργοις τὸ ἀργύριον τῆς Γῆς γενεαλογεῖ

ΙΔΑΙΟΙ ΔΑΚΤΥΛΟΙ

176 (186. 187)

Plinius Nat. hist. VII 56, 197 *aes conflare et temperare Aristoteles Lydum Scythen monstrasse, Theophrastus Delam Phrygem putant, aerariam fabricam alii Chalybas, alii Cyclopas, ferrum Hesiodus in Creta eos qui vocati sunt Dactyli Idaei*

Clemens Alex. Strom. I 16, 75 (II 63, 7 D.), unde sua Eusebius Praep. evang. X 6, 5 (I 549, 5 D.) Κέλμις τε αὖ καὶ Δαμναμενεὺς

καὶ κακά κ' Peppmüller l. c.) ἀμήσαιο (ἀμήσειας Peppmüller l. c.)'· καὶ πάλιν· 'ὃς δὲ κακὰ σπείρει (σπείρῃ Peppmüller l. c.), θερεῖ κακὰ κήδεα (κέρδεα Peppmüller l. c.) παισίν'

176 narrationem Clementis Plinianae non repugnare vidit Marckscheffel l. c. p. 384; cf. Bethe Herm. XXIV 413 adn. 2; fragmentum Hesiodo abiudicavit Sittl Wien. St. XII 62 Δαμναμενεὺς] Δυναμενεὺς Sittl l. c.

οἱ τῶν Ἰδαίων Δάκτυλοι πρῶτοι σίδηρον εὗρον ἐν Κύπρῳ, Δέλας δὲ ἄλλος Ἰδαῖος εὗρε χαλκοῦ κρᾶσιν, ὡς δὲ Ἡσίοδος, Σκύθης

ΑΣΤΡΟΝΟΜΙΑ

177 (9)

Τὰς δὲ βροτοὶ καλέουσι Πελειάδας

Athenaeus XI p. 491 c. d (III p. 83, 6 K.) *καὶ ὁ τὴν εἰς Ἡσίοδον δὲ ἀναφερομένην ποιήσας Ἀστρονομίαν αἰεὶ Πελειάδας αὐτὰς λέγει 'τὰς δὲ — Πελειάδας'*

178 (10)

Χειμέριαι δύνουσι Πελειάδες

Athenaeus XI p. 491 d (III 83, 9 K.) *καὶ πάλιν 'χειμέριαι — Πελειάδες'*

179 (11)

Τῆμος ἀποκρύπτουσι Πελειάδες

Athenaeus XI p. 491 d (III 83, 11 K.) *καὶ πάλιν 'τῆμος — Πελειάδες'*

Plinius Nat. hist. XVIII 25, 213 (exscripsit Schol. Strozz. Germanici p. 209, 12) *occasum matutinum vergiliarum Hesiodus — nam huius quoque nomine extat Astrologia — tradidit fieri cum aequinoctium autumni conficeretur*

180 (14)

Νύμφαι Χαρίτεσσιν ὁμοῖαι,
Φαισύλη ἠδὲ Κορωνὶς ἐυστέφανός τε Κλέεια
Φαιώ θ' ἱμερόεσσα ἰδ' Εὐδώρη τανύπεπλος,
ἃς Ὑάδας καλέουσιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων

1—4 Schol. Arati 172 (p. 370, 8 M.) *Ἡσίοδος γάρ φησι περὶ αὐτῶν (τῶν Ὑάδων) 'νύμφαι — ἀνθρώπων'*

Schol. Arati 254 (p. 386, 13 M.) *ἐκ τούτου δὴ τοῦ Ἄτλαντός φασιν οἱ μῦθοι καὶ τὰς Ὑάδας γενέσθαι καὶ υἱὸν Ὕαντα. ὃν ἐν Λιβύῃ θηρῶντα ἐπειδὴ ὄφις ἀνεῖλεν, αἱ ἀδελφαὶ τῷ θρήνῳ νικηθεῖσαι ἀπώ-*

180, 1 *Ρ 51 Χαρίτεσσιν ὁμοῖαι** 4 *Ξ 361 φῦλ' ἀνθρώπων**

οἱ τῶν Ἰδαίων Δάκτυλοι] *οἱ Ἰδαῖοι δάκτυλοι* Sittl l. c.
180, 2 *Φαισύλη*] *φασύλη* scholii Arati 254 cod. A (Paris. 2403 s. XIV) 3 *ἱμερόεσσα ἰδ'*] scholii Arati 172 cod. M (Marcianus 476 s. XI), *ἱμερόεσσ' ἠδ'* Paulson Stud. Hes. I 158; *ἱμερόεσσα* (*ἱμερόεντα* schol. Arati 254 cod. A) *καὶ* schol. Arati 254 et scholii Arati 172 cod. A Tzetzes utroque loco 4 *Νύμφαι, ἃς Ὑάδας καλέουσιν φῦλ' ἀνθρώπων* Tzetzes Chil.

λοντο. Ζεὺς δὲ ἀστέρας αὐτὰς πεποίηκε, τὰς καλουμένας Ὑάδας. ὧν τὰ ὀνόματα Ἡσίοδος ἐν τῇ ἀστρικῇ αὐτοῦ βίβλῳ διδάσκει λέγων· ʽΦαισύλη — τανύπεπλος᾽

Tzetzes in Hes. Op. 384 (p. 246, 19 G.) *ἄλλοι δέ τινες δώδεκα θυγατέρας φασὶ γενέσθαι τῷ Ἄτλαντι, καὶ υἱὸν Ὕαντα, ὃν ἐν Λιβύῃ θηρῶντα ὄφις ἀνεῖλεν. καὶ αἱ μὲν πέντε τὸν ἀδελφὸν τοῦτον θρηνοῦσαι ἀπώλοντο· Ζεὺς δὲ ἀστέρας ταύτας πεποίηκε, τὰς λεγομένας Ὑάδας, ὧν τὰ ὀνόματα ὁ Ἀσκραῖος οὗτος Ἡσίοδος ἐν τῇ ἀστρικῇ αὐτοῦ βίβλῳ διδάσκει λέγων ʽνύμφαι — ἀνθρώπων᾽*

2—4 Tzetzes Chil. XII 168 sqq. *ἐν μέσῳ τοῦ βιβλίου (ἀστρικοῦ Ἡσιόδου) δὲ τὰ ἔπη κεῖνται ταῦτα· ʽΦαισύλη — ἀνθρώπων᾽*

181 (15)

Pseuderatosthenes Catast. fr. I p. 50 R. (p. 1, 4 Ol.) = Comm. in Arat. reliq. p. 181 b 1 M. *Ἄρκτος ἡ μεγάλη] ταύτην Ἡσίοδός φησι Λυκάονος θυγατέρα ἐν Ἀρκαδίᾳ οἰκεῖν, ἑλέσθαι δὲ μετὰ Ἀρτέμιδος τὴν περὶ τὰς θήρας ἀγωγὴν ἐν τοῖς ὄρεσι ποιεῖσθαι· φθαρεῖσαν δὲ ὑπὸ Διὸς ἐμμεῖναι λανθάνουσαν τὴν θεόν· φωραθῆναι δὲ ὕστερον ἐπίτοκον ἤδη οὖσαν ὀφθεῖσαν ὑπ᾽ αὐτῆς λουομένην· ἐφ᾽ ᾧ ὀργισθεῖσαν τὴν θεὸν ἀποθηριῶσαι αὐτήν· καὶ οὕτως τεκεῖν ἄρκτον γενομένην τὸν κληθέντα Ἀρκάδα. οὖσαν δ᾽ ἐν τῷ ὄρει θηρευθῆναι ὑπὸ αἰπόλων τινῶν καὶ παραδοθῆναι μετὰ τοῦ βρέφους τῷ Λυκάονι· μετὰ χρόνον δέ τινα δόξαι εἰσελθεῖν εἰς τὸ τοῦ Διὸς ἄβατον [ἱερὸν] ἀγνοήσασαν τὸν νόμον. ὑπὸ δὲ τοῦ ἰδίου υἱοῦ διωκομένην καὶ τῶν Ἀρκάδων, καὶ ἀναιρεῖσθαι μέλλουσαν διὰ τὸν εἰρημένον νόμον ὁ Ζεὺς διὰ τὴν συγγένειαν αὐτὴν ἐξείλετο καὶ ἐν τοῖς ἄστροις αὐτὴν ἔθηκεν. Ἄρκτον δὲ αὐτὴν ὠνόμασε διὰ τὸ συμβεβηκὸς αὐτῇ σύμπτωμα*

cf. Schol. Arat. 27 (p. 344, 10 M.) *περὶ Ἄρκτων. τὴν μίαν τούτων τὴν μεγάλην . . . Ἡσίοδός φησι Λυκάονος θυγατέρα εἶναι καὶ ἐν Ἀρκαδίᾳ κατοικοῦσαν ἑλέσθαι μετὰ Ἀρτέμιδος τὴν περὶ τὰς θήρας ἀγωγὴν ἐν τοῖς ὄρεσι ποιεῖσθαι· φθαρεῖσαν δὲ ὑπὸ Διὸς ἐμμεῖναι ἐν τοῖς πρότερον κλέπτουσαν τῇ Ἀρτέμιδι τὸ σύμπτωμα. ἤδη δὲ ἐπίτοκον οὖσαν ὀφθῆναι ὑπ᾽ αὐτῆς λουομένην. ἐφ᾽ ᾧ ὀργισθεῖσαν τὴν Ἄρτεμιν θηριῶσαι αὐτήν. καὶ οὕτω τεκεῖν ἄρκτον οὖσαν τὸν κληθέντα Ἀρκάδα. οὖσαν δὲ ἐν τῷ ὄρει θηρευθῆναι ὑπὸ αἰπόλων τινῶν καὶ παραδοθῆναι Λυκάονι μετὰ τοῦ βρέφους. μετὰ χρόνον δέ τινα δόξαι εἰσελθεῖν εἰς τὸ Λύκαιον, ὅ ἐστι τοῦ Διὸς λεγόμενον ἄβατον, ἀγνοήσασαν τὸν νόμον. ὑπὸ ⟨δὲ⟩ τοῦ ἰδίου υἱοῦ διωκομένην καὶ αὐτὴν τῶν Ἀρκάδων ἀναιρεῖσθαι*

---

181 de fragmento cf. Robert Eratosth. Catast. rel. 50, 238 sq. *φθαρεῖσαν δὲ*] Robert, *τε* codd. *ἐπίτοκον*] correxit Koppiers, *ἐπὶ τόκον* libri *ἱερὸν*] seclusit Koppiers

μελλόντων διὰ τὸν εἰρημένον νόμον ὁ Ζεὺς διὰ τὴν συγγένειαν αὐτῆς ἐξείλετο καὶ ἐν τοῖς ἄστροις αὐτὴν ἔθηκεν. Ἄρκτον δὲ αὐτὴν ὠνόμασε διὰ τὸ σύμπτωμα

Comm. Arati Supplem. p. 574 M. 8 *⟨π⟩ερὶ τοῦ Βοώτου τοῦ καὶ Ἀρκτοφύλακος. ⟨π⟩ερὶ τούτου λέγεται, ὅτι Ἀρκάς ἐστιν ὁ ⟨ἐκ⟩ Καλλιστοῦς καὶ Διὸς γεγονώς· ᾤκησε δὲ περὶ τὸ Λύκαιον. φθείραντος αὐτὴν Διὸς οὐ προσποιησάμενος ὁ Λυκάων τὸν Δία ἐξένιζεν, ὥς φησιν Ἡσίοδος, καὶ τὸ βρέφος κατακόψας παρέθηκεν ἐπὶ τὴν τράπεζαν . . . .*

cf. Arat. comm. (Anonymus II) p. 181 a 1 M.

Apollodorus III 8, 2, 2 (p. 135, 14 W.) *Εὔμηλος δὲ καί τινες ἕτεροι λέγουσι Λυκάονι καὶ θυγατέρα Καλλιστὼ γενέσθαι. Ἡσίοδος μὲν γὰρ αὐτὴν μίαν εἶναι τῶν νυμφῶν λέγει, Ἄσιος δὲ Νυκτέως, Φερεκύδης δὲ Κητέως*

'Hyginus' Astron. II 1 *hanc (Arcton maximam) autem Hesiodus ait esse Callisto nomine, Lycaonis filiam eius, qui in Arcadia regnavit; eamque studio venationis inductam ad Dianam se applicuisse, a qua non mediocriter esse dilectam propter utriusque consimilem naturam. postea autem ab Iove compressam veritam Dianae suum dicere eventum quod diutius celare non potuit; nam iam utero ingravescente prope diem partus in flumine corpus exercitatione defessum cum recrearet, a Diana cognita est non conservasse virginitatem. cui dea pro magnitudine suspicionis non minorem retribuit poenam. erepta enim facie virginali in ursae speciem est conversa, quae graece ἄρκτος appellatur. in ea figura corporis Arcada procreavit*

Schol. Basil. Germanici Arat. p. 58, 5 Br. *hanc* (Arcton) *Hesiodus dicit Lycaonis filiam in Arcadia solitam cum Diana venari et in montibus vagari, quae vitiata ab Iove celaverit Dianam, quam gravidam nudam lavantem cum aspexisset irata dea efferavit eam. et dum esset ursa, Arcada esse enixam*

Schol. Strozz. Germanici Arat. p. 112, 4 B. *Helicen autem dicit Hesiodus Callisto Lycaonis regis filiam fuisse, quae in Arcadia solita cum Diana venari et in montibus vagari et ab Iove oppressa rem celaret Dianae. quam gravidam nudam lavantem cum aspexisset Diana, in lavacro partum accelerans, irata dea, quia factum celavit bestia fieri iussa est. et dum esset ursa, Arctum enixa est, quem Arcadem vocant*

Schol. Sangerm. Germanici Arat. p. 112, 8 B. *Helicem autem dicit Hesiodus Licaonis filiam fuisse, quae cum in Archadia habitaret et cum Diana venationis causa in montibus esset et a Iove violata rem celaret Dianae, in lavacro partum accelerans ab ea deprehensa, quia factum celavit bestia fieri iussa est et parere Arcturum, quem vocant Arcadem*

182 (17)

Pseuderatosthenes Catast. fr. XXXII p. 162 R. (p. 37, 21 Ol.) *Ὠρίων] τοῦτον Ἡσίοδός φησιν Εὐρυάλης τῆς Μίνωος καὶ Ποσειδῶνος εἶναι, δοθῆναι δὲ αὐτῷ δωρεὰν ὥστε ἐπὶ τῶν κυμάτων πορεύεσθαι καθάπερ ἐπὶ τῆς γῆς. ἐλθόντα δὲ αὐτὸν εἰς Χίον Μερόπην τὴν Οἰνοπίωνος βιάσασθαι οἰνωθέντα, γνόντα δὲ τὸν Οἰνοπίωνα καὶ χαλεπῶς ἐνεγκόντα τὴν ὕβριν ἐκτυφλῶσαι αὐτὸν καὶ ἐκ τῆς χώρας ἐκβαλεῖν· ἐλθόντα δὲ εἰς Λῆμνον ἀλητεύοντα Ἡφαίστῳ συμμῖξαι· ὃς αὐτὸν ἐλεήσας δίδωσιν αὐτῷ Κηδαλίωνα τὸν αὐτοῦ οἰκέτην, ὅπως ὁδηγῇ· ὃν λαβὼν ἐπὶ τῶν ὤμων ἔφερε σημαίνοντα τὰς ὁδούς. ἐλθὼν δ' ἐπὶ τὰς ἀνατολὰς καὶ Ἡλίῳ συμμίξας δοκεῖ ὑγιασθῆναι καὶ οὕτως ἐπὶ τὸν Οἰνοπίωνα ἐλθεῖν πάλιν τιμωρίαν αὐτῷ ἐπιθήσων. ὁ δὲ ὑπὸ τῶν πολιτῶν ὑπὸ γῆν ἐκέκρυπτο. ἀπελπίσας δὲ τὴν ἐκείνου ζήτησιν ἀπῆλθεν εἰς Κρήτην καὶ περὶ τὰς θήρας διῆγε κυνηγετῶν τῆς Ἀρτέμιδος παρούσης καὶ τῆς Λητοῦς, καὶ δοκεῖ ἀπειλήσασθαι ὡς πᾶν θηρίον ἀνελεῖν τῶν ἐπὶ τῆς γῆς γινομένων. θυμωθεῖσα δὲ αὐτῷ Γῆ ἀνῆκε σκορπίον εὐμεγέθη, ἐφ' οὗ τῷ κέντρῳ πληγεὶς ἀπώλετο. ὅθεν διὰ τὴν αὐτοῦ ἀνδρίαν ἐν τοῖς ἄστροις αὐτὸν ἔθηκεν ὁ Ζεὺς ὑπὸ Ἀρτέμιδος καὶ Λητοῦς ἀξιωθείς, ὁμοίως καὶ τὸ θηρίον τοῦ εἶναι μνημόσυνον καὶ τῆς πράξεως*

cf. Schol. Nicandr. Ther. 15 p. 5, 26 K.

de parte priore cf. Schol. Arati 322 p. 405, 15 M.; clauditur narratio Hesiodea his verbis: *ἀπελπίσας δὲ αὐτὸν εὑρεῖν εἰς Κρήτην ἦλθε καὶ τῇ Ἀρτέμιδι σύνθηρος ἦν*

cf. Arati comm. Anonymus II p. 247 A. 1 M.

'Hyginus' Astron. II 34 *Orion. hunc Hesiodus Neptuni filium dicit ex Euryale Minois filia natum. concessum autem ei, ut supra fluctus curreret ut in terra*

Schol. Basil. Germanici Arat. p. 92, 16 Br. *hunc* (Orionem) *Hesiodus ait Neptuni et Eurypyles filium, cui donum datum, ut supra fluctus ambularet veluti super terram.* cf. Schol. Strozz. Germanici Arat. p. 163, 4 Br.

Schol. Sangerm. Germanici Arat. p. 163, 14 Br. *hunc Hesiodus fabulose dicit a Neptuno accepisse donum, ut super undas ambularet et propter stuprum Meropis a Vinolento patre caecatum esse et de regione expulsum et Neptuni miseratione Cedalionem ducem gressuum suorum ad tolerandam caecitatem accepisse et denuo a Sole in orientalibus*

---

182 de fragmento, quod suspicionem movet Sittlio Wien. St. XII 57, cf. Robert l. c. 162 sq. 238 sq. *Μερόπην*] *ἀλερόπην* schol. Nicandri cod. K *Κηδαλίωνα*] Nicandri schol., *ἦν δαλίωνα* cod. L (Ol.), *ἠνδαλίωνα* O, *Ἰνδαλίωνα* Sittl l. c. 59 *οἰκέτην*] *οἰκεῖον οἰκέτην* libri, *οἰκεῖον* delevit Heyne *ὁδηγῇ*] quae in libris secuntur *καὶ ἡγῆται αὐτοῦ*, removit Robert l. c. *Γῆ*] *ἡ Γῆ* Robert l. c. *τοῦ εἶναι*] *εἰς*? Olivieri *καὶ τῆς πράξεως*] *καὶ* delebat Heyne

partibus lucem recepisse et redeuntem nec se ulcisci de Vinolento valentem in Cretem fugisse et cum Diana plurimas bestias peremisse et irata contra eum Terra scorpionis ictu interisse et ob hoc a Iove inter astra conlocatum esse

183 (18)

Diodorus IV 85 (de freto Siculo exponens) *ἔνιοι δὲ λέγουσι σεισμῶν μεγάλων γενομένων διαρραγῆναι τὸν αὐχένα τῆς ἠπείρου καὶ γενέσθαι τὸν πορθμόν, διειργούσης τῆς θαλάσσης τὴν ἤπειρον ἀπὸ τῆς νήσου. Ἡσίοδος δὲ ὁ ποιητής φησι τοὐναντίον, ἀναπεπταμένου τοῦ πελάγους Ὠρίωνα προσχῶσαι τὸ κατὰ τὴν Πελωρίδα κείμενον ἀκρωτήριον καὶ τὸ τέμενος τοῦ Ποσειδῶνος κατασκευάσαι, τιμώμενον ὑπὸ τῶν ἐγχωρίων διαφερόντως· ταῦτα δὲ διαπραξάμενον εἰς Εὔβοιαν μεταναστῆσαι κἀκεῖ κατοικῆσαι· διὰ δὲ τὴν δόξαν ἐν τοῖς κατ' οὐρανὸν ἄστροις καταριθμηθέντα τυχεῖν ἀθανάτου μνήμης*

ΑΙΓΙΜΙΟΣ

184 (1)

Schol. Laur. Apoll. Rhod. Arg. *Γ* 587 (p. 465, 13 K.) *ἄγγελόν φησιν Ἑρμῆν ὑπὸ Διὸς πεμφθῆναι κελεύοντα δέξασθαι τὸν Φρίξον, ἵνα τὴν Αἰήτου θυγατέρα γήμῃ. ὁ δὲ τὸν Αἰγίμιον ποιήσας διὰ ⟨τὸ⟩ δέρας αὐτὸν αὐθαιρέτως φησὶ προσδεχθῆναι. λέγει δὲ ὅτι μετὰ τὴν θυσίαν ἁγνίσας τὸ δέρας οὕτως ἔστειχεν εἰς τοὺς Αἰήτου δόμους τὸ κῶας ἔχων*

185 (2)

Schol. Laur. Apoll. Rhod. Arg. *Δ* 816 (p. 507, 7 K.) *ὁ τὸν Αἰγίμιον ποιήσας ἐν δευτέρῳ φησὶν ὅτι ἡ Θέτις εἰς λέβητα ὕδατος ἔβαλλεν τοὺς ἐκ Πηλέως γεννωμένους, γνῶναι βουλομένη εἰ θνητοί εἰσιν, ἕτεροι δὲ εἰς πῦρ, ὡς Ἀπολλώνιός φησι· καὶ δὴ πολλῶν διαφθαρέντων ἀγανακτῆσαι τὸν Πηλέα καὶ κωλῦσαι τὸν Ἀχιλλέα ἐμβληθῆναι εἰς λέβητα*

186 (3)

Νήσῳ ἐν Ἀβαντίδι δίῃ·
τὴν πρὶν Ἀβαντίδα κίκλησκον θεοὶ αἰὲν ἐόντες,

186, 2 *Α* 290 *θεοὶ αἰὲν ἐόντες**

---

183 ad Astronomiam referebant Marckscheffel l. c. 358 et Robert l. c. 238 adn. 3

184 ⟨*τὸ*⟩] addidit Keil in ed. schol., om. cod. Laur. *λέγει δὲ*] versiculum C. Schenkl in ed. mea[1] p. 147 sic restituebat: '*κῶας ἔχων ἔστειχεν ἐς Αἰήταο μέλαθρα*'

185 *ἕτεροι*] Koechly Op. I 233, *ἑτέρους* cod. Laur.

Εὔβοιαν δὲ βοὸς τότ' ἐπώνυμον ὠνόμασεν Ζεύς

Stephanus Byz. v. *Ἀβαντίς· ἡ Εὔβοια, ὡς Ἡσίοδος ἐν Αἰγιμίου δευτέρῳ περὶ Ἰοῦς 'νήσῳ — Ζεύς'*

187 (4)

Ἐκ τοῦ δ' ὅρκον ἔθηκεν ἀποίνιμον ἀνθρώποισι
νοσφιδίων ἔργων πέρι Κύπριδος

Schol. Plat. Symp. p. 183 B (Append. Plat. p. 25, 7 H.) *ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος, ἐπὶ τῶν δι' ἔρωτα ὀμνυόντων πολλάκις καὶ ἐπιορκούντων. μέμνηται δὲ ταύτης καὶ Ἡσίοδος λέγων 'ἐκ — Κύπριδος [ἀφροδισίων]'*

Hesychius v. *ἀφροδίσιος ὅρκος· παροιμία, ἣν καὶ ἀναγράφουσιν· ἀφροδίσιος ὅρκος οὐ δάκνει. πρῶτος δὲ Ἡσίοδος ἔπλασε τὰ περὶ τὸν Δία καὶ τὴν Ἰώ*

Apollodorus II 1, 3, 1 (p. 51, 17 W.) *Κάστωρ δὲ ὁ συγγράψας τὰ χρονικὰ καὶ πολλοὶ τῶν τραγικῶν Ἰνάχου τὴν Ἰὼ λέγουσιν· Ἡσίοδος δὲ καὶ Ἀκουσίλαος Πειρῆνος αὐτήν φασιν εἶναι. ταύτην ἱερωσύνην τῆς Ἥρας ἔχουσαν Ζεὺς ἔφθειρε. φωραθεὶς δὲ ὑφ' Ἥρας τῆς μὲν κόρης ἁψάμενος εἰς βοῦν μετεμόρφωσε λευκήν, ἀπωμόσατο δὲ ταύτῃ μὴ συνελθεῖν. διό φησιν Ἡσίοδος οὐκ ἐπισπᾶσθαι τὴν ἀπὸ τῶν θεῶν ὀργὴν τοὺς γινομένους ὅρκους ὑπὲρ ἔρωτος*

Herodianus *περὶ μον. λέξ.* 17 (II 923, 7 L.) *Πειρὴν καθ' Ἡσίοδον πατὴρ Ἰοῦς*

---

187 Trag. Fragm. adesp. 525 p. 942 N.[2] *ἀφροδίσιος* ⟨*γὰρ* Grotius⟩ *ὅρκος οὐκ ἐμποίνιμος* Callim. Epigr. 27, 3 (I 78 Schn.) *ὤμοσεν· ἀλλὰ λέγουσιν ἀληθέα τοὺς ἐν ἔρωτι | ὅρκους μὴ δύνειν οὔατ' ἐς ἀθανάτων* Incert. poet. ap. Choric. Apol. mim. 5 Gr. (Rev. de phil. I 218) *μὴ δείμαινε θεούς, ἐράων ἢν ψεῦδος ὀμόσσῃς* Publil. Syr. Sent. 38 *amantis ius iurandum poenam non habet* Tibull. III 6, 49 *periuria ridet amantum | Iuppiter*

186, 3 restituit Hermann Op. VI 257; *τὴν τότε ἐπώνυμον Εὔβοιαν βοὸς ὠνόμασέν νιν Ζεύς* libri; *πρὶν γὰρ . . . ἐόντες, ἀλλὰ τότ' Εὔβοιαν βροτοὶ ἀνέρες ἐξονόμασσαν* Goettling ed.[2] 252, *δὴ τότε γ' Εὔβοιάν μιν ἐπώνυμον ὠνόμασε Ζεύς* Meineke in ed. Stephani, *δὴ τότ' ἐπώνυμον Εὔβοιαν βοὸς ὠνόμασεν Ζεύς* Peppmüller (coll. Hom. *ν* 190 sqq.) Rh. Mus. XL 626
187, 1 *ἔθηκεν ἀποίνιμον*] Schneidewin Gött. gel. Anz. 1842 I 526 (cf. Bergk Griech. Litg. I 862 adn. 168), *ἔθηκεν ἀμείνονα* codd., *ἔθηκεν ἀπήμονα* Hermann Op. VI 257, *ἔθηκ' ἀμενηνὸν ἐν* vir doctus ('Alf.') Jenaische allg. Literaturzeit. 1820 n. 35 (I p. 276), *ἔθηκεν ἀναίτιον* conieci in ed.[1] p. 148 *ἀνθρώποισι*] (*ἀπήμονα*) *τοῖς ἀνθρώποις* vel *τοῖσι βροτοῖσι* dubitans Paulson Stud. Hes. I 159 2 *πέρι*] vir doctus l. c., *περὶ* codd. *ἀφροδισίων*] in codd. obvium delevit Bekker in schol. Plat., *Κύπριδος ὅσσ' Ἀφροδίτης* vir doctus l. c.

188 (5)

Καί οἱ ἐπίσκοπον Ἄργον ἵει κρατερόν τε μέγαν τε,
τέτρασιν ὀφθαλμοῖσιν ὁρώμενον ἔνθα καὶ ἔνθα,
ἀκάματον δέ οἱ ὦρσε θεὰ μένος, οὐδέ οἱ ὕπνος
πίπτεν ἐπὶ βλεφάροις, φυλακὴν δ' ἔχεν ἔμπεδον αἰεί

1—4 Schol. Eurip. Phoen. 1116 (I 366, 4 Schw.) *ὁ δὲ τὸν Αἰγίμιον ποιήσας φησί* 'καί — αἰεί'

cf. Apollodorus II 1, 3, 3 (p. 52, 2 W.) *Ἥρα δὲ αἰτησαμένη παρὰ Διὸς τὴν βοῦν φύλακα αὐτῆς κατέστησεν Ἄργον τὸν πανόπτην, ὃν Φερεκύδης μὲν Ἀρέστορος λέγει, Ἀσκληπιάδης δὲ Ἰνάχου, Κέρκωψ δὲ Ἄργου καὶ Ἰσμήνης τῆς Ἀσωποῦ θυγατρός*

Tzetzes Schol. in Exeg. Iliad. p. 153, 21 H. *ὁ δὲ τὸν* ⟨*Αἰγίμιον*⟩ *γράψας ἄνθρωπον τοῦτον* (*Ἄργον*) *φησὶ* ⟨*τετρό*⟩*φθαλμον φύλακα τῆς* ⟨*Ἰοῦς*⟩ *παρὰ τῆς Ἥρας πεμφθέντα* ⟨*λέγων?*⟩ *οὑτωσί*· '*καί οἱ — ἔμπεδος αἰέν*'

189 (6)

Schol. Ven. B Hom. *Ω* 24 (IV 337, 22 D.) *Ἀργεϊφόντην*] . . . *κατὰ τοὺς Ἡσιόδου μύθους τὸν βουκόλον Ἰοῦς ἐφόνευσεν* (*Ἑρμῆς*)

190 (7)

Ἔνθα ποτ' ἔσται ἐμὸν ψυκτήριον, ὄρχαμε λαῶν

Athenaeus XI p. 503c.d (III 112, 4 K.) *Νίκανδρος δ' ὁ Θυατειρηνὸς καλεῖσθαί φησι ψυκτήρια καὶ τοὺς ἀλσώδεις καὶ συσκίους τόπους τοὺς τοῖς θεοῖς ἀνειμένους, ἐν οἷς ἔστιν ἀναψῦξαι* . . . . (13) *καὶ ὁ τὸν Αἰγίμιον ποιήσας, εἴθ' Ἡσίοδός ἐστιν ἢ Κέρκωψ ὁ Μιλήσιος*, '*ἔνθα — λαῶν*'

191 (8)

Πάντες δὲ τριχάικες καλέονται,
τρισσὴν οὕνεκα γαῖαν ἑκὰς πάτρης ἐδάσαντο

188, 3 sq. *β* 398 . . *σφισὶν ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν* 4 cf. *Θ* 521 *φυλακὴ δέ τις ἔμπεδος ἔστω*

188, 2 = [Fragm. Orph. 64 A.] (versus ab Hermia Orphicis falso adscriptus, cf. Kern Herm. XXIII 484 adn. 1); Hymn. Hom. Merc. 279 *ὁρώμενος ἔνθα καὶ ἔνθα**

188, 1 *Ἄργον ἵει*] periit in cod. Tzetzae *τε*] alterum om. cod. T 2 *τέτρασιν*] non servatum in cod. Tzetzae *ἔνθα καὶ*] periit in cod. Tzetzae *καὶ ἔνθα*] om. T 3 *οἱ ὦρσε*] interierunt in cod. Tzetzae 4 *πίπτεν*] om. codd. MT, desideratur in cod. Tzetzae *βλεφάροις*] *βλεφάροισιν* M *φυλακὴν*] *φυλακὴ* TAB Tzetzes *ἔχεν*] *ἔσχεν* TB *ἔμπεδον*] *ἔμπεδος* TAB Tzetzes *αἰεί*] *αἰέν* Tzetzes
191 *οἰκῆσαι*] post addit *οἷον* Et. mag. 2 *τρισσὴν οὕνεκα*] Goettling

Et. gen. et mag. v. *τριχάικες· . . . . Ἡσίοδος δὲ διὰ τὸ τριχῇ αὐτοὺς οἰκῆσαι 'πάντες — ἐδάσαντο'. τρία γὰρ Ἑλληνικὰ ἔθνη τῆς Κρήτης ἐποικῆσαι, Πελασγούς, Ἀχαιούς, Δωριεῖς. οὓς τριχάικας κεκλήκασι. παραιτητέον γὰρ τοὺς λέγοντας αἰνίττεσθαι Ἡρακλειδῶν δύναμιν τριχῇ διῃρημένην· νεώτερα γὰρ ταῦτα*

ΕΞ ΑΔΗΛΩΝ ΕΠΩΝ

192 (211)

Οὐρανίη δ' ἄρ' ἔτικτε Λίνον πολυήρατον υἱόν,
ὃν δὴ ὅσοι βροτοί εἰσιν ἀοιδοὶ καὶ κιθαρισταί,
πάντες μὲν θρηνεῦσιν ἐν εἰλαπίναις τε χοροῖς τε,
ἀρχόμενοι δὲ Λίνον καὶ λήγοντες καλέουσιν

Schol. Townl. Hom. Σ 570 (VI 279, 16 M.) *καὶ Ἡσίοδος 'Οὐρανίη — καλέουσιν'*

unde sua Eustathius Hom. 1163, 62

193 (212)

Παντοίης σοφίης δεδαηκότα

Clemens Alex. Strom. I 4, 25 (II 21, 6 D.) *Ἡσίοδος γὰρ τὸν κιθαριστὴν Λίνον παντοίας σοφίας δεδαηκότα εἰπὼν καὶ ναύτην οὐκ ὀκνεῖ λέγειν σοφόν*

194 (213)

Εἰ μὴ Ἀπόλλων Φοῖβος ὑπὲκ θανάτοιο σαώσαι
ἢ καὶ Παιήων, ὃς ἁπάντων φάρμακα οἶδεν

---

193 Maneth. III (II) 102 *σοφίης δεδαηκότας*
194, 2 cf. Solon Fr. 13, 57 B.[4] *Παιῶνος πολυφαρμάκου* Quint. Smyrn. VI 420 *μάλα δ' ἤπια φάρμακα οἶδας*

---

ed.[2] 253 (cf. Hilberg Silbenwäg. 129, 163); *οὕνεκα τρισσὴν* Et. utrumque, quod amplexus est Paulson Stud. Hes. I 83 *πάτρης*] Et. mag., *πατρίδος* Et. gen. *ἐδάσαντο*] *ἐδάσσαντο* Et. gen. *τῆς Κρήτης*] Et. gen., *τῇ Κρήτῃ* Et. mag. *ἐποικῆσαι Πελασγοὺς — Δωριεῖς*] Et. gen., *ἐποίκησαν Πελασγοί, Ἀχαιοί, Δωριεῖς* Et. mag.
192, 1 *δ' ἄρ'*] Eustathius, *δ'* schol. Hom. 2 *ὅσοι*] Eustathius, *σοι* cod. Townl. schol. *ἀοιδοὶ*] Eustathius, *αἰθίδαι*, ut videtur, cod. Townl. 3 *θρηνεῦσιν*] correxi Dial. d. Hes. 449, *θρηνοῦσιν* schol. Hom. Eustathius *εἰλαπίναις*] *εἰλαπίνες* (*αι* m[1]) cod. Townl. *τε χοροῖς τε*] schol. Hom., *ἠδὲ χοροῖσιν* Eustathius 4 *δὲ*] Eustathius, *τε* schol. Hom.
193 *Λίνον κιθαριστὴν* in clausula versus antecedentis posuit Goettling ed.[1] 225 *παντοίης σοφίης*] restituit Hermann Op. VI 262
194, 1 *σαώσαι*] ope scholii M (Marc.) T (Hamb.) ad Hom. δ 232 correxit Dindorf in ed. schol., *σαώσει* schol. B (Ambr. B) H (Harl.) Q (Mediol.)

Schol. Hom. BHQ δ 231 (I 196, 3 D.) *διαφέρει ⟨γὰρ⟩ ὁ Παιήων Ἀπόλλωνος, ὡς καὶ Ἡσίοδος μαρτυρεῖ 'εἰ μὴ — οἶδεν'*
Schol. Hom. MTV δ 232 (I 196, 8 D.) *καὶ Ἡσίοδος δὲ μάρτυς ἐστὶ τοῦ ἕτερον εἶναι τὸν Παιήονα τοῦ Ἀπόλλωνος λέγων 'εἰ μὴ — οἶδεν'*
Eustathius Hom. 1494, 12 *Παιήων δὲ θεῶν ἰατρὸς ὡς καὶ ἡ Ἰλιὰς μυθεύεται, ἕτερος ὢν Ἀπόλλωνος ὡς καὶ Ἡσίοδος δηλοῖ εἰπών· 'εἰ μὴ — οἶδεν'*

195 (214)

Αὐτὸς γὰρ πάντων βασιλεὺς καὶ κοίρανός ἐστιν
ἀθανάτων τέ οἱ οὔ τις ἐρήρισται κράτος ἄλλος

1 sq. Clemens Alex. Protr. c. VII 73 (I 79, 8 D.) *ταύτῃ τοι καὶ ὁ Ἀσκραῖος αἰνίττεται Ἡσίοδος τὸν θεόν· 'αὐτὸς — ἄλλος'*
Clemens Alex. Strom. V 14, 112 (III 93, 10 D.), unde sua Eusebius Praep. evang. XIII 13, *ἀλλὰ καὶ ὁ Ἡσίοδος 'αὐτὸς — πάντων' φησὶ 'βασιλεὺς — ἄλλος'*
2 cf. Hesychius *'ἐρήρισται'· ἐρίζει*

196 (215)

Δῶρα θεῶν μακάρων πλῆσθαι χθονί

Epim. Hom. in Anecd. Ox. I 148, 23 Cr. *καὶ Ὅμηρος 'ἀλλὰ μάλα Σκύλλης σκοπέλῳ πεπλημένος εἶναι'. τούτου γὰρ ἀπαρέμφατον Δωριστὶ πλῆσθαι, ἐνεστῶτος ὡς ἧρῆσθαι· Ἡσίοδος· 'δῶρα — χθονί'. ἢ κατ' ἀφαίρεσιν τοῦ παρακειμένου*

197 (217)

Μουσάων, αἵ τ' ἄνδρα πολυφραδέοντα τιθεῖσι
θέσπιον αὐδήεντα

Clemens Alex. Strom. I 7, 36 (II 30, 15 D.) *καὶ Ἡσίοδος· 'Μουσάων — αὐδήεντα'. εὔπορον μὲν γὰρ ἐν λόγοις τὸν πολυφράδμονα λέγει, δεινὸν δὲ τὸν αὐδήεντα, καὶ θέσπιον τὸν ἔμπειρον καὶ φιλόσοφον καὶ τῆς ἀληθείας ἐπιστήμονα*

---

196 *Δ* 339 *θεῶν μακάρων*

---

ad δ 231, *σώσει* Eustathius; *σαώσῃ* Hemsterhuis teste Gaisfordio in Addendis ed. p. 290   2 *καὶ*] Hermann Op. VI 262, *αὐτὸς* scholion utrumque, om. Eustathius   *ἀπάντων*] *πάντων* Eustathius, *πάντα τε* Schol. BQ ad 231, *πάντα* schol. H ad 231 et T ad 232   ⟨*γὰρ*⟩ Ludwich Arist. hom. Textkr. I 542 adn.

195 suspectum Sittlio Wien. St. XII 59   1 *ἐστιν* — 2 *οἱ*] *ἐσσι* | *ἀθανάτων· τέο δ'* Sittl l. c.   *τέ οἱ*] cod. M (Mutinensis bibl. Pal. III D 7 s. XI) Clementis Protrept. (*οἱ* m[1] superscr.); *τε ὁδ'* codd. P (Paris. 451 s. X) V; *σέο δ'* cod. L (Laur. V 3) Clementis Strom.; an *δέ οἱ*? *σοὶ δ'* Heinsius ed. (1603) p. 318; *τῷ δ'* L. Dindorf ed. Hes. 90   *ἐρήρισται*] Clemens Strom. cum Eusebio, cf. Hesychius; *ἐρήρεισται* codd. Clementis Protr.

197, 1 *τιθεῖσι*] L. Dindorf ed. 90, *τιθεῖσαι* cod. Clementis

198 (44)

Οὔρειαι Νύμφαι θεαὶ ἐξεγένοντο
καὶ γένος οὐτιδανῶν Σατύρων καὶ ἀμηχανοεργῶν
Κουρῆτές τε θεοὶ φιλοπαίγμονες ὀρχηστῆρες

Strabo X p. 471 *Ἡσίοδος μὲν γὰρ Ἑκατέρου καὶ τῆς Φορωνέως θυγατρὸς πέντε γενέσθαι θυγατέρας φησίν, ἐξ ὧν 'οὔρειαι — ὀρχηστῆρες'*

199 (220)

Schol. Strozz. Germanici Arat. p. 185, 4 Br. *Phaethontem Solis et Clymenes filium esse dixerunt et quia paternos currus affectans sibi atque mundo concremationis detrimenta conflixerit et a Iove fulmine percussus in Eridanum deciderit fluvium — sic Hesiodus refert — et a Sole patre inter sidera collocatus*

Narrat. fab. Ovid. Met. II fab. 2 p. 796 St. *sorores Phaethontis Phaethusa Lampetie Phoebe casum fratris dum deflent, deorum misericordia in arbores populos mutatae sunt. lacrimae earum, ut Hesiodus et Euripides indicant, in electrum sunt conversae*

cf. 'Hyginus' Fab. 154 (Phaethon Hesiodi) *Phaethon Clymeni, Solis filii, et Meropes nymphae filius, quam Oceanitidem accepimus, cum indicio patris avum Solem cognovisset, impetratis curribus male usus est. nam cum esset propius terram vectus, vicino igni omnia conflagrarunt: et fulmine ictus in Padum cecidit. hic amnis a Graecis Eridanus dicitur, quem Pherecydes primus vocavit. Indi autem, quod calore vicini ignis sanguis in atrum colorem versus est, nigri sunt facti. sorores autem Phaethontis, dum interitum deflent fratris, in arbores sunt populos versae. harum lacrimae, ut Hesiodus indicat, in electrum sunt duratae: Heliades tamen nominantur. sunt autem Merope Helie Aegle Lampetie Phoebe Aetherie Dioxippe. Cygnus autem, rex Liguriae, qui*

198, 2 Cercopes Fr. 1 (p. 70 K.) *ἀμήχανά τ' ἔργα δαέντας* (Lobeck, *ἔργ' ἀνύσαντας* Küster, *ἔργ' ἐάσαντας* Suidas)

---

198 ad Idaeos Dactylos pertinere arbitratus est Sittl ed. 616 1 *τάων δ'* in principio versus addidit Marckscheffel l. c. 290 *οὔρειαι*] *ὄρειαι* libri Strabonis *ἐξεγένοντο*] *ἐγένοντο* libri Strabonis 2 *καὶ ἀμηχανοεργῶν*] *κακομηχανοεργῶν* Meineke Com. Gr. Fragm. II 1, 396 3 *φιλοπαίγμονες*] *φιλοπαίσμονες* Cobet Mnem. n. s. III 361 *Ἑκατέρου*] *ἑκατέρω, ἑκαταίου, ἑκατέου* libri Strabonis

199 de fragmento cf. Robert Herm. XVIII 434 sqq. et Eratosth. Cataster. rel. 214 (qui fabulam de Phaethonte in Catalogi libro primo narratam fuisse arbitratur l. c. 438) et Knaack Quaest. Phaeth. p. 3—12 *sic Hesiodus refert*] desunt in schol. Sangerm. p. 228, 17, unde Strozz. descripta sunt, sed cf. Knaack l. c. 5 'Hyginus' et Schol. Strozz.] quae Hesiodea referant, accurate perlustrat Knaack l. c. 4 sq. *Hesiodi*] *Heliades* M. Schmidt; cf. Sittl Wien. St. XII 58

fuit Phaethontis propinquus, dum deflet propinquum in cygnum conversus est. is quoque moriens flebile canit

Schol. Strozz. Germanici Arat. p. 174, 6 Br. (de Eridano) *Hesiodus autem dicit inter astra conlocatum propter Phaethonta, Solis et Clymenes filium, qui clam dicitur currum patris ascendisse cumque a terra altius levaretur, prae timore in Eridanum fluvium, qui et Padus, cecidisse eumque percussum fulmine a Iove. omnia ardere coepisse causaque extinguendi universos amnes inmissos esse omneque mortalium genus interisse praeter Pyrram et Deucalionem. sorores quoque Phaethontis flentes in arbores populos versas fuisse. lacrimae quoque earum in electrum duratae dicuntur Heliadesque appellatae. ipsas autem nomina habuisse Merope Helie Aegle Lampetie Phoebe Aetherie Dioxippe. Cygnus quoque, rex Liguriae, Phaethonti propinquus, dum defleret, et ipse in cygnum conversus. is quoque moriens flebile canit*

200 (266)

Phlegon Mirab. c. V p. 74 K. *οἱ αὐτοὶ* (*Ἡσίοδος καὶ Δικαίαρχος καὶ Κλέαρχος καὶ Καλλίμαχος καὶ ἄλλοι τινές*, cf. c. IV p. 73 K.) *ἱστοροῦσιν κατὰ τὴν Λαπιθῶν χώραν γενέσθαι Ἐλάτῳ τῷ βασιλεῖ θυγατέρα, ὀνομαζομένην Καινίδα· ταύτῃ δὲ Ποσειδῶνα μιγέντα ἐπαγγείλασθαι ποιήσειν αὐτὴν ὃ ἂν ἐθέλῃ, τὴν δὲ ἀξιῶσαι μεταλλάξαί αὐτὴν εἰς ἄνδρα ποιῆσαί τε ἄτρωτον. τοῦ δὲ Ποσειδῶνος κατὰ τὸ ἀξιωθὲν ποιήσαντος μετονομασθῆναι Καινέα*

201 (137)

Θεσσάμενος γενεὴν Κλεοδαίου κυδαλίμοιο

Schol. Laur. Apoll. Rhod. Arg. *Α* 824 (p. 350, 2 K.) *θέσσασθαι γὰρ τὸ αἰτῆσαι καὶ ἱκετεῦσαι. καὶ Ἡσίοδος· ʽθεσσάμενος — κυδαλίμοιοʼ*

202

Bacchylides V 191 sq. *Βοιωτὸς ἀνὴρ τάδε φών⟨ησεν . . .* | *Ἡσίοδος*

Hesiodus autem — Clymenes filium] huic narrationi in Astronomiae fragmentis locum esse (cf. Kinkel Epic. gr. fragm. p. 90, fr. 16) iure negavit Robert Eratosth. Cataster. rel. 240 de Eustathii adnotatione p. 1689, 4 *Ἡσίοδος δέ φησι προμιγῆναι αὐτὴν (τὴν Κλυμένην) Ἡλίῳ καὶ τεκεῖν Φαέθοντα* cf. schol. Hom. *λ* 326 Marckscheffel l. c. 357 Robert Herm. XVIII 437 Sittl Wien. St. XII 56

201 ad Aegimium referebat Buttmann de Aleuad. 14 Mythol. II 260; in Catalogi fragmentis collocavit Marckscheffel l. c. 326 *Κλεοδαίου*] Lehmann de Hes. carm. perd. 67, *Κλεαδαίου* cod. Laur. *θέσσασθαι*] Schaefer ed. Apollonii II p. 64 adn., *θέσθαι* cod. Laur.

202 ad Theog. 81 sq. pertinere arbitratus est Sitzler Anthol. a. d. Lyr. d. Griech.[4] II 154 *φών⟨ησεν* Blass in ed. Bacchyl., ΦΩΝ··· papyrus

πρόπολος | Μουσᾶν, ὃν ⟨ἂν⟩ ἀθάνατοι τι⟨μῶσι, κείνῳ⟩ | καὶ βροτῶν φήμαν ἕπ⟨εσθαι

203 (125)

Aelianus Var. Hist. XII 20 (II p. 128, 3 H.) *λέγει Ἡσίοδος τὴν ἀηδόνα μόνην ὀρνίθων ἀμοιρεῖν ὕπνου καὶ διὰ τέλους ἀγρυπνεῖν. τὴν δὲ χελιδόνα οὐκ ἐς τὸ παντελὲς ἀγρυπνεῖν, ἀποβεβληκέναι δὲ καὶ ταύτην τοῦ ὕπνου τὸ ἥμισυ*

204 (221)

Πρωὶ μάλ' ἠίθεον

Ammonius v. *ὄρθρος* p. 101 V. *καὶ Ἡσίοδος τελευτῆσαί τινα 'πρωὶ — ἠίθεον', τοῦτ' ἔστι πρόωρον*

205 (225)

Ἀλκὴν μὲν γὰρ ἔδωκεν Ὀλύμπιος Αἰακίδῃσι,
νοῦν δ' Ἀμυθαονίδαις, πλοῦτον δ' ἔπορ' Ἀτρεΐδῃσιν

Nicolaus Damasc. Fr. 33 (Fragm. hist. Graec. III 374 M.) *ὅτι ἐδόκει φρονήσει τὸ τῶν Ἀμυθαονιδῶν γένος τὸ παλαιὸν ἐν τοῖς Ἕλλησι πρωτεύειν· ὥς περ καὶ Ἡσίοδός φησιν ἐν τούτοις· 'ἀλκὴν — Ἀτρεΐδῃσιν'*

Suidas v. *ἀλκή* (I 1 p. 227 B.)· *ἰσχύς, δύναμις. Ἡσίοδος· 'ἀλκὴν — Ἀτρεΐδῃσιν'*

206 (227)

Τῇδε γὰρ ἀξυλίῃ κατεπύθετο κήλεα νηῶν

Schol. Ven. A Hom. *Λ* 155 (I 379, 15 D.) (*ἡ διπλῆ*) *πρὸς τὴν ἄξυλον, ὅτι πολλὰς ἐκδοχὰς ἔσχηκεν. οἱ μὲν γὰρ τὴν θρυώδη ἀποδεδώ-*

---

202 Theogn. 169 *ὃν δὲ θεοὶ τιμῶσ', ὃν καὶ μωμεύμενος αἰνεῖ*

⟨*ἂν*⟩] addidit Blass in ed. Bacchyl., om. papyrus *τι⟨μῶσι*] Housman ΤΙ···· papyrus ⟨*κείνῳ*⟩] addidit Wilamowitz, *τούτῳ* Housman *ἕπ⟨εσθαι*] Housman, ЄΠ···· papyrus

203 haec de Procne et Philomela dicta esse videntur Marckscheffelio l. c. 321 *ἀμοιρεῖν*] Dukerus, *ἀμελεῖν* codd. *ἀποβεβληκέναι δὲ*] Hercher, *δὲ ἀπολωλέναι* codd. *καὶ ταύτην*] transposui in ed. mea[1] p. 181, *ἀγρυπνεῖν καὶ ταύτην* codd. *ἥμισυ*] cf. quae secuntur (vix ex Hesiodo petita): *τιμωρίαν δὲ ἄρα ταύτην ἐκτίνουσι διὰ τὸ πάθος τὸ ἐν Θρᾴκῃ κατατολμηθὲν* (Coraes, *διατολμηθὲν* codd.) *τὸ ἐς τὸ δεῖπνον ἐκεῖνο τὸ ἄθεσμον*

204 de Eurygye (Androgeo, cf. fragm. 104) intellexit Ruhnken Op. II 592

205 num ad Melampodiam referret, anceps erat Sittl ed. 613 1 *Αἰακίδῃσι*] *Αἰακίδαισι* Nicolaus 2 *δ' ἔπορ'*] (praeeunte Reizio, qui *δὲ πόρ'* scripsit) Hermann Op. VI 266, *δὲ παρ'* Nicolaus, *δέ περ* Suidas

206 *τῇδε*] '*dort*' Hermann Op. VI 268, *τῆλε* cod. Venet. A *κήλεα νηῶν*] *χείλεα νηῶν* Hermann l. c., *κῆλ' ἀλιήων* Goettling ed.[2] 305, *νήια κᾶλα* Sittl ed. 628

κασιν, οἱ δὲ τὴν πολύξυλον· βέλτιον δὲ ἀφ' ἧς οὐδεὶς ἐξυλίσατο, ὡς Ἡσίοδος· 'τῇδε — νηῶν'

207 (229)

Οὐκέτι δὴ βαίνουσι λαροῖς ποσίν

Et. gen. et mag. v. *λαρόν . . . λέγεται καὶ ἐπὶ τοῦ ἁπαλοῦ. Ἡσίοδος 'οὐκέτι — ποσίν'*

Lex. Vindob. p. 119, 16 N. *λαρὸν ἅπαν τὸ σὺν ἡδονῇ πινόμενον καὶ λαρὸν τὸ ἁπαλόν. Ἡσίοδος 'οὐκέτι — ποσίν'*

Schol. Laur. Apoll. Rhod. *Α* 456 (p. 327, 31 K.) *Ἡσίοδος δέ φησι 'λαροῖς ποσίν', τοῖς κατ' ὄψιν ἡδέσιν*

208 (230)

Ὤπτησαν μὲν πρῶτα, περιφραδέως δ' ἐρύσαντο

Schol. Ven. A Hom. *Ω* 624 (II 294, 8 D.) *ὤπτησάν τε περιφραδέως] σημειοῦνταί τινες, ὅτι Ἡσίοδος ἐποίησεν 'ὤπτησαν — ἐρύσαντο'. οὐδεὶς δὲ περιφραδέως ἐξέλκει κρέα, ἀλλὰ μᾶλλον ὀπτᾷ*

209 (233)

Herodotus IV 32 *ἀλλ' Ἡσιόδῳ μέν ἐστι περὶ Ὑπερβορέων εἰρημένα*

210 (234)

Τοῦ γὰρ ἀέξετο θυμὸς ἐνὶ στήθεσσι φίλοισιν

Chrysippus ap. Galenum de plac. Hippocr. et Plat. I p. 265, 7 M. (V p. 300 K.) *τῶν δὲ ἐξ Ἡσιόδου παραγραφέντων ὑπὸ Χρυσίππου παμπόλλων καὶ αὐτῶν ὄντων ἀρκέσει μοι δυοῖν ἢ τριῶν ἐπιμνησθῆναι παραδείγματος ἕνεκα· 'τοῦ — φίλοισιν'*

211 (235)

Οἷον ἐνὶ στήθεσσι χόλον θυμαλγέ' ἔχουσα

Chrysippus ap. Galenum de plac. Hippocr. et Plat. I p. 265, 12 M. (V p. 300 K.) *καὶ 'οἷον — ἔχουσα'*

---

208 cf. *Ω* 624 *ὤπτησάν τε περιφραδέως ἐρύσαντό τε πάντα*
210 *β* 315 *μοι ἀέξεται ἔνδοθι θυμός* *Ν* 494 *θυμὸς ἐνὶ στήθεσσι**
211 *Δ* 513 *χόλον θυμαλγέα**

---

207 *οὐκέτι δὴ*] *οὐκ ἐπειδὴ* cod. Lex. Vindob. *βαίνουσι*] *βαίνον* Et. mag. *βαίνουσι λαροῖς*] *βαῖνον λιπαροῖς* Ruhnken Op. II 581 sq.
209 Catalogo attribuit Marckscheffel l. c. 307
210 *τοῦ γὰρ*] Nauck MGrR. III 274 (IV 399), *τοῦδε γὰρ* L (schedae Laurent.), versus initium mutilum (post spatium vacuum . . tantum litterae *το* verbi *ἀέξε⟩το* leguntur) in cod. M (Marciano), *τοῦ δὴ* scripsi in ed.[1] p. 218
211 *ἔχουσα*] *ἔχουσι* L (schedae Laurent.)

212 (236)

Δωδώνην φηγόν τε, Πελασγῶν ἕδρανον, ἦεν

Strabo VII p. 327 *οἱ δὲ Πελασγοὶ τῶν περὶ τὴν Ἑλλάδα δυναστευσάντων ἀρχαιότατοι λέγονται· καὶ ὁ ποιητής φησιν οὕτω 'Ζεῦ ἄνα Δωδωναῖε, Πελασγικέ', ὁ δ' Ἡσίοδος 'Δωδώνην — ἦεν'*

213 (237)

Schol. Ven. A Hom. *I* 246 (I 315, 4 D.) *σημειοῦνταί τινες, ὅτι τὴν ὅλην Πελοπόννησον οὐκ οἶδεν ὁ ποιητής, Ἡσίοδος δέ*

214 (238)

Μέγαρα σκιόεντα

